




1
6
109












ΚΑΛΛΙΜΑΧΟΥ ΚΥΡΗΝΑΙΟΥ ΥΜΝΟΙ, ΜΕΤΑ ΤΩΝ ΣΧΟΛΙΩΝ.

ΓΝΩΜΑΙ ἐκ διαφόρων ποιητῶν φιλοσόφων τε καὶ ῥητόρων συλλεγεῖσαι.

CALLIMACHI CYRENAEI hymni, cũm scholijs nunc primum æditis.


SENTENTIAE ex diuersis poëtis oratoribusq́ ac philosophis collectæ, non ante excusæ.





BASILEAE, ANNO M D XXXII

Cum priuilegio Cæsareo ad sexennium.



❧ INSIGNI GENERE AC ERVDITIONE VIRO DOMINO CAROLO Vtenhouio, Sigiſmundus Gelenius S. D.



QVVM HAS CALLIMAchi reliquias, quæ ſolæ temporis edacitatē effugerunt, inter excudēdum legerem: etſi cętera uenuſtiſsimi poētæ monumenta deperdita pro graui iactura, ita ut eſt, ducerē: haud mediocre tamen ſolatium harum deliciarum cupidis fore ratus ſum, quod ſaltem guſtus aliquis ingenij tam lepidi contigerit. Leuius certe ferretur Menandri deſiderium, ſi uel unica eius fabula extaret. Quando uero aliter fatis uiſum eſt, quid uetat minutiſsimas quoq; tantorum ingeniorum reliquias toto complecti pectore: maxime ſi tales ſint, ut ob ſui precium nō una cum cæteris periſſe uideantur: perinde acſi ex incendio quopiam horribili gemmæ dūtaxat uniones ue incolumes eripiātur. In quo genere non memini me quicquam uidere conferendum Gnomologiæ, Callimacho in hac æditione ſubiunctæ, ex celeberrimis quibuſq; poëtis, oratoribus ac philoſophis ante bi-

bliothecarum panolethrian excerptæ. Habētur qui-
dem non pauca priscorum poëmatum fragmenta
apud Athenæum, sed ea magis ad exhilarandum
comicis salibus lectorem, quàm ad instituendam ui-
tam mores´ue formandos accommoda. Prodierunt
iampridē Græci senarij gnomici, sed magis, opinor,
uulgo olim iactati, quàm ex ueterum monumentis
collecti. At hic mira in omnibus sententijs utilitas: in
plerisq; haud minor maiestas, quàm in illis quæ in
Delphico sacrario scriptæ memorantur: sunt quæ ne
ecclesiarum quidem parietes dedecere possint. Va-
rietas uero tanta, ut plus centum autores habeant;
quorum nomenclaturam proxima pagina uidere li-
cet: ad hæc ordine cunctæ sanè decenti per suos quæ
q; locos digestæ sunt. Earum, unà cum Scholijs in
Callimachum, quum nuper popularis meus, uir do-
ctissimus Matthæus Aurigallus trium linguarum
professor, pro suo candore officinæ Frobenianæ co-
piam fecisset: sub tuo nūc nomine bonis auibus pro-
deunt: quo testatiorem reddāt meum animum erga
te tātum amicum ac patronum: cuius officijs uereor
ut unquam parem gratiam referre possim, etsi mu-
tua beneuolentia nequaquam tibi concedam. Nec
dubito tibi hoc munusculum in delicijs fore, qui pa-
rentis tui Nicolai Vtenhouij Clarissimi uiri gloriæ
successor

ſucceſſor ſingulare omnium uirtutum ſtudium cum mirifica morum ſuauitate coniunxiſti, & cum utroq; eximiam eruditionem, quam ex diutina cum doctiſſimis Germaniæ, Italiæ, Galliæq; uiris conſuetudine comparaſti: magnoq; ſucceſſu incumbis abſolutæ honeſtarũ artium cognitioni: Græcas uero literas iamdudum tibi feciſti & iucundas & familiares. Vale, & me, quod facis, ama. Baſileæ, calendis Iunij Anno
M D XXXII

ΚΑΤΑΛΟΓΟΣ ΑΝΔΡΩΝ

Σοφῶν ἐξ ὧν αἵδε γνῶμαι.


Ἀγάθων
ἀγησίλαος
αἰλιανός
αἰσχίνης
αἴσχυλος
ἄλεξις
ἀλκαῖος
ἄμφις
ἀνακρέων
ἀναξάμαρυς
ἀναξανδρίδης
ἀναξιμένης
ἀνάχαρσις
ἀντίγονος
ἀντισθένης
ἀντιφάνης
ἀπολλόδωρος
ἀπολλωνίδης
ἄρατος
ἀριανὸς
ἀρίσταρχος
ἀριστοτέλης
ἀριστοφῶν
ἀρίστων
ἀρχίλοχος
ἀστυδάμας
Βακχυλίδης
βίας
βίων
βροῦτος
Δημόκριτος
δημόνικος
δημοσθένης
δίφιλος
Εἰρήνη
ἐπίκουρος
ἐπίχαρμος
ἐρασίστρατος
ἐρατοσθένης
ἕρμαρχος
εὔηνος
εὔπολις
εὐριπίδης
εὐσέβιος
εὐφορίων
εὔφρων
Ζήνων
Ἡλιόδωρος
ἡνίοχος
ἡρόδοτος
ἡρώδης
ἡσίοδος
Θαλῆς
θέογνις
θεόγονος
θεοδέκτης
θεόκριτος
θουκυδίδης
Ἱέραξ
ἱππόθοος
ἱπποκράτης
ἱππῶναξ
ἰσαῖος
ἰσοκράτης
Καλλίμαχος
καλλῖνος

κάρκινος
κάτων
κλεαίνετος
κλεάνθης
κλεινίας
κλείταρχος
κλεόβουλος
κράντωρ
κράτης
Λεωνίδης
λυκοῦργος
λυκόφρων
λυσίας
Μένανδρος
μενεκράτης
μητρόδωρος
μίμνερμος
μοσχίων
μόσχος σικελός
μουσώνιος
Ναυμάχιος
νεοπτόλεμος
νεόφρων
νικόλαος
Ξενοφάνης
ξενοφῶν
Ὄβριμος
ὀλυμπιάς
ὅμηρος
Πανύασις
πειρίθοος
πείσανδρος
πίνδαρος
πιττακός
πλάτων
πλούταρχος
πολύαινος
πολυΐδης
πομπήϊος μάκρος
πορφύριος
ποσίδιππος
πυθαγόρας
πυθιάς
Ραδάμανθυς
Σαπφώ
σερῖνος
σιμωνίδης
σόλων
σοφοκλῆς
σώσιμος
σωκράτης
σώπατρος
σωσίθεος
σωτάδης
σωτίων
Τέλης
τιμοκλῆς
τυρταῖος
Ὑπερίδης
Φαβωρῖνος
φάλαρις
φανοκλῆς
φερεκράτης
φιλέας
φιλήμων
φίλων
φιλήτας
φιλιππίδης
φιλίσκος
φωκυλλίδης
Χαιρήμων
χείλων
χοίριλος

Τέλος

Βίος Καλλιμάχου.

ΚΑλλίμαχος, υἱὸς βάττου καὶ μεσάτμας, κυρηναῖος, γραμματικός, μαθητὴς ἑρμοκράτους τοῦ ἰασέος γραμματικοῦ. γαμετὴν ἐσχηκὼς τὴν εὐφράτου τοῦ συρακουσίου θυγατέρα. ἀδελφῆς δὲ αὐτοῦ παῖς ἦν, ὁ νέος καλλίμαχος, ὁ γράψας περὶ νήσων δι᾽ ἐπῶν. οὕτω δὲ γέγονεν ἐπιμελέστατος, ὡς γράψαι μὲν ποιήματα εἰς πᾶν μέτρον, συντάξαι δὲ καὶ καταλογάδην, πλεῖστα. καὶ ἔστιν αὐτοῦ τὰ γεγραμμένα βιβλία, ὑπὲρ τὰ ω. ἐπὶ δὲ τῶν χρόνων ἦν πτολεμαίου τοῦ φιλαδέλφου. πρὶν δὲ συσταθῇ τῷ βασιλεῖ, γράμματα ἐδίδασκεν ἐν ἐλευσῖνι κωμυδρίῳ τῆς ἀλεξανδρείας, καὶ παρέτεινε μέχρι τοῦ εὐεργέτου κληθέντος πτολεμαίου. ὀλυμπιάδος δὲ ἦν ρκζ. ἧς κατὰ τὸ δεύτερον ἔτος ὁ εὐεργέτης πτολεμαῖος ἤρξατο τῆς βασιλείας. τῶν δὲ αὐτοῦ βιβλίων ἐστὶ καὶ ταῦτα. ἰοῦς ἄφιξις. σεμέλη. ἄργους οἰκισμοί. ἀρκαδία. γλαῦκος. ἐλπίδες. σατυρικὰ δράματα. τραγῳδίαι. κωμῳδίαι. μέλη. ἶβις. ἔστι δὲ ποίημα ἐπιτετηδευμένον εἰς ἀσάφειαν καὶ λοιδορίαν εἴς τινα ἶβιν γενόμενον ἐχθρὸν τοῦ καλλιμάχου. ἦν δὲ οὗτος ἀπολλώνιος, ὁ γράψας τὰ ἀργοναυτικά. μουσεῖον. πίνακες τῶν ἐν πάσῃ παιδείᾳ διαλαμψάντων. καὶ ὧν συνέγραψαν ἐν βιβλίοις κ καὶ ρ πίναξ, καὶ ἀναγραφὴ τῶν κατὰ χρόνους καὶ ἀπ᾽ ἀρχῆς γενομένων διδασκάλων. πίναξ τῶν δημοκρίτου γλωσσῶν καὶ συνταγμάτων. μηνῶν προσηγορίαι κατὰ ἔθνη καὶ πόλεις. κτίσεις νήσων καὶ πόλεων, καὶ μετονομασίαι. περὶ τῶν ἐν εὐρώπῃ ποταμῶν. καὶ περὶ τῶν ἐν πελοποννήσῳ καὶ ἰταλίᾳ θαυμασίων καὶ παραδόξων. περὶ μετονομασίας ἰχθύων. περὶ ἀνέμων, περὶ ὀρνέων, περὶ τῶν ἐν τῇ οἰκουμένῃ ποταμῶν. θαυμάτων τῶν εἰς ἅπασαν τὴν γῆν κατὰ τόπους ὄντων συναγωγή.



ΚΑΛΛΙΜΑΧΟΥ ΚΥΡΗΝΑΙΟΥ ΥΜΝΟΙ.

ΕΙΣ ΔΙΑ.



ΗΝΟΣ ἔοι τί κεν ἄλλο παρὰ
σπονδῇσιν ἀείδειν,
λώϊον, ἢ θεὸν αὐτὸν ἀεὶ μέ-
γαν. αἰὲν ἄνακτα.
πηλογόνων ἐλατῆρα. δικα-
σπόλον οὐρανίδῃσι.
πῶς καί νιν δικταῖον ἀείσο-
μεν, ἠὲ λυκαῖον.
ἐν δοιῇ μάλα θυμὸς, ἐπεὶ γένος ἀμφήριστον.
ζεῦ, σὲ μὲν ἰδαίοισιν ἐν οὔρεσί φασι γενέσθαι.
ζεῦ, σὲ δ' ἐν ἀρκαδίῃ. πότεροι πάτερ ἐψεύσαντο.
κρῆτες ἀεὶ ψεῦσται. καὶ γὰρ τάφον ὦ ἄνα σεῖο
κρῆτες ἐτεκτήναντο. σὺ δ' οὐ θάνες. ἐσσὶ γὰρ αἰεί.
ἐν δέ σε παῤῥασίῃ ῥείη τέκεν. ᾗχι μάλιστα
ἔσκεν ὄρος θάμνοισι περισκεπὲς. ἔνθεν ὁ χῶρος
ἱερὸς. οὐδέ τι μιν κεχρημένον εἰλειθυίης
ἑρπετὸν οὐδὲ γυνὴ ἐπιμίσγεται. ἀλλά ἑ ῥείης
ὠγύγιον καλέουσι λεχώϊον ἀπιδανῆες.
ἔνθα σ' ἐπεὶ μήτηρ μεγάλων ἀπεθήκατο κόλπων

αὐτίκα δίζητο ῥόον ὕδατος, ᾧ κεν τόκοιο
λύματα χυτλώσαιτο, τεὸν δ' ἐνὶ χρῶτα λοέσαι.
λάδων ἀλλ' οὔπω μέγας ἔρρεεν, οὐδ' ἐρύμανθος
λευκότατος ποταμῶν. ἔτι δ' ἄβροχος ἦεν ἅπασα
ἀζηνίη. μέλλεν δὲ μάλ' εὔυδρος καλέεσθαι,
αὖτις. ἐπεὶ τῆμος δὲ ῥέη ὅτ' ἐλύσατο μίτρην,
ἢ πολλὰς ἐφύπερθε σαρωνίδας ὑγρὸς ἰάων
ἤειρεν, πολλὰς δὲ μέλας ὤκχησεν ἁμάξας,
πολλὰ δὲ καρίωνος ἄνω διεροῦ περ ἐόντος
ἰλυοὺς ἐβάλοντο κινώπετα. νίσσετο δ' ἀνὴρ
πεζὸς ὑπὲρ κράθιν τε πολύστειόν τε μετώπην,
διψαλέος. τὸ δὲ πολλὸν ὕδωρ ὑπὸ ποσὶν ἔκειτο.
καὶ ῥ' ὑπ' ἀμηχανίης σχομένη φάτο πότνια ῥείη.
γαῖα φίλε, τέκε καὶ σύ. τεαὶ δ' ὠδῖνες ἐλαφραί.
εἶπε, καὶ ἀντανύσασα θεὰ μέγαν ὑψόθι πῆχυν,
πλῆξεν ὄρος σκήπτρῳ. τὸ δέ οἱ δίχα πουλὺ διέστη.
ἐκ δ' ἔχεεν μέγα χεῦμα. τόθι χρόα φαιδρύνασα
ὦνα τεόν, σπείρωσε. νέδη δέ σε δῶκε κομίσαι
κευθμῶν ἔσω κρηταῖον, ἵνα κρύφα παιδεύοιο,
πρεσβυτάτη νυμφέων, αἵ μιν τότε μαιώσαντο,
πρωτίστη γενεῇ, μετά τε στύγα φιλύρην τε.
οὐδ' ἁλίην ἀπέτισε θεὴ χάριν. ἀλλὰ τὸ χεῦμα
κεῖνο νέδην ὀνόμηνε. τὸ μέν ποθι πουλὺ κατ' αὐτὸ
καυκώνων πτολίεθρον, ὃ λέπρειον πεφάτισται,
συμφέρεται νηρῆι. παλαιότατον δέ μιν ὕδωρ
υἱωνοὶ πίνουσι λυκαονίης ἄρκτοιο.

εὖτε

οὔτε θεὰς ἀπέλειπεν ἐπεὶ κνωσοῖο φέρουσα,
ζεῦ πάτερ ἡ νύμφη σε. θεναὶ δ' ἔσαν ἐγγύθι κνωσοῦ.
τουτάκι τοι πέσε δαῖμον ἀπ' ὀμφαλός. ἔνθεν ἐκεῖνο
ὀμφάλιον μετέπειτα πέδον καλέουσι κύδωνες.
ζεῦ. σὲ δὲ κυρβάντων ἑταῖραι προσεπηχύναντο,
δικταῖαι μελίαι. σὲ δὲ κοίμισεν ἀδρήστεια
λείκνῳ ἐνὶ χρυσέῳ. σὺ δ' ἐθήσαο πίονα μαζὸν
αἰγὸς ἀμαλθείης. ἐπὶ δὲ γλυκὺ κηρίον ἔβρως.
γέντο γὰρ ἐξαπιναῖα πανακρίδος ἔργα μελίσσης
ἰδαίοις ἐν ὄρεσι. τά, τε κλείουσι πάνακρα.
οὖλα δὲ κούρητές γε περὶ πρύλιν ὠρχήσαντο,
τεύχεα πεπλήγοντες, ἵνα κρόνος οὔασιν ἠχὼ
ἀσπίδος εἰσαΐοι, καὶ μή σεο κουρίζοντος.
καλὰ μὲν ἠέξευ. καλὰ δ' ἔτραφες οὐράνιε ζεῦ.
ὀξὺ δ' ἀνήβησας. ταχινοὶ δέ τοι ἦλθον ἴουλοι.
ἀλλ' ἔτι παιδνὸς ἐὼν, ἐφράσσαο πάντα τέλεια.
τῷ τοι καὶ γνωτοὶ προτερηγενέες περ ἐόντες
οὐρανὸν οὐκ ἐμέγηραν ἔχειν ἐπιδαίσιον οἶκον.
δηναιοὶ δ' οὐ πάμπαν ἀληθέες ἦσαν ἀοιδοὶ
φάντο πάλον κρονίδῃσι διάτριχα δώματα νεῖμαι.
τίς δέ κ' ἐπ' οὐλύμπῳ τε καὶ ἄϊδι κλῆρον ἐρύσαι
ὃς μάλα μὴ νενίηλος. ἐπ' ἰσαίῃ γὰρ ἔοικε
πήλασθαι. τὰ δὲ, τόσον ὅσον διαπλεῖστον ἔχουσι.
ψευδοίμην ἀΐοντος ἅ κεν πεπίθοιεν ἀκουήν.
οὔ σε θεῶν ἐσσῆνα πάλοι θέσαν, ἔργα δὲ χειρῶν,
σή τε βίη τό τε κάρτος, ὃ καὶ πέλας εἵσαο δίφρου.


θήκαο δ' οἰωνῶν μέγ' ὑπείροχον ἀγγελιώτην
σῶν τεράων. ἅ,τ' ἐμοῖσι φίλοις ἐνδέξια φαίνοις.
εἵλεο δ' αἰζηῶν ὅ,τι φέρτατον. οὐ σύ γε νηῶν
ἐμπεράμους, οὐκ ἄνδρα σακέσπαλον, οὐ μὲν ἀοιδόν.
ἀλλὰ τὰ μὲν μακάρεσσιν ὀλίζοσιν αὖθι παρῆκας
ἄλλα μέλειν ἑτέροισι. σὺ δ' ἐξέλεο πτολιάρχους
αὐτοὺς, ὧν ὑπὸ χεῖρα γεωμόρος, ὧν ἴδρις αἰχμῆς,
ὧν ἐρέτης, ὧν πάντα. τί δ' οὐ κρατέοντος ὑπ' ἰσχύν.
αὐτίκα χαλκῆας μὲν ὑδείομεν ἡφαίστοιο,
τευχηστὰς δ' ἄρηος, ἐπακτῆρας δὲ χιτώνης,
ἀρτέμιδος. φοίβου δὲ λύρης εὖ εἰδότας οἴμους,
ἐκ δὲ διὸς βασιλῆες, ἐπεὶ διὸς οὐδὲν ἀνάκτων
θειότερον, τῷ καί σφι τεὴν ἐκρίναο τάξιν.
δῶκας δὲ πτολίεθρα φυλασσέμεν, ἵζεο δ' αὐτὸς
ἄκρῃς ἐν πολίεσσιν ἐπόψιος, οἵ τε δίκῃσι
λαὸν ὑπὸ σκολιῇς, οἵ τ' ἔμπαλιν ἰθύνουσιν.
ἐν δὲ ῥυηφενίην ἔβαλες σφίσιν, ἐν δ' ἅλις ὄλβον.
πᾶσι μὲν, οὐ μάλα δ' ἶσον. ἔοικε δὲ τεκμήρασθαι
ἡμετέρῳ μεδέοντι, περιπρὸ γὰρ εὐρὺ βέβηκεν.
ἑσπέριος κεῖνός γε τελεῖ, τά κεν ἠοῖ νοήσῃ.
ἑσπέριος τὰ μέγιστα, τὰ μείονα δ' εὖτε νοήσῃ.
οἱ δὲ, τὰ μὲν πλειῶνι, τὰ δ' οὐχ ἑνί, τῶν δ' ἀπὸ πάμπαν
αὐτὸς ἄνην ἐκόλουσας, ἐνέκλασας δὲ μενοινήν.
χαῖρε μέγα κρονίδη πανυπέρτατε δῶτορ ἐάων,
δῶτορ ἀπημονίης, τεὰ δ' ἔργματα τίς κεν ἀείδοι.
οὐ γένετ' οὐκ ἔσται τίς κεν διὸς ἔργματ' ἀείσει.

χαῖρε

χαῖρε πάτερ, χαῖρ' αὖθι, δίδου δ' ἀρετήν τ' ἄφενός τε.
οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν,
οὔτ' ἀρετὴ ἀφένοιο. δίδου δ' ἀρετήν τε καὶ ὄλβον.

ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ ΤΩΝ καλλιμάχου ὕμνων.

ΕΙΣ ΤΟΝ ΔΙΟΣ.



ΗΝΟΣ ΕΟΙ.) Πότερον ζηνὸς σπονδῆσιν, ἢ ζηνός τι λώϊον ἀείδειν. Πηλογόνων.) Τῶν γιγάντων, παρὰ τὸ ἐκ πηλοῦ γεγενῆσθαι. τουτέστι τῆς γῆς. Δικταῖον.) Κρηταῖον, δίκτη γὰρ ὄρος κρήτης. Λυκαῖον.) Αρκάδα. λύκαιον ἀρκαδίας ὄρος. Αμφήριστον.) Αμφίλογον. Ιδαίοισιν.) Ἴδη ὄρος κρήτης, καὶ τροίας. νῦν δὲ τὸ κρήτης φησί. Πότεροι.) Ἐν ἤθει ἀναγνωστέον τὸ πότεροι. Κρῆτες ἀεί.) Παροιμία ἐστὶ τὸ κρητίζειν ἐπὶ τοῦ ψεύδεσθαι, ἀπὸ ἰδομενέως τοῦ κρητὸς ῥηθεῖσα. ὃς λαχὼν μερίσαι τοῖς ἕλλησι τὰ λάφυρα τοῦ ἰλίου, τὰ κρείττω ἑαυτῷ περιεποιήσατο. Τάφον.) Ἐν κρήτῃ ἐπὶ τῷ τάφῳ τοῦ μίνωος ἐπεγέγραπτο, μίνωος τοῦ διὸς τάφος. τῷ χρόνῳ δὲ τὸ τοῦ μίνωος ἀπηλείφθη. ὥς τε περιλειφθῆναι διὸς τάφος. ἐκ τούτου οὖν ἔχειν λέγουσι κρῆτες τὸν τάφον τοῦ διός. ἢ ὅτι κορύβαντες λαβόντες αὐτὸν ἐπὶ τῷ κρύψαι διὰ τὸν κρόνον, προσεποίησαν τάφον αὐτῷ. Παῤῥασίῃ.) Ὄρος ἀρκαδίας τὸ παῤῥάσιον, ἀπὸ παράσου τοῦ λυκάονος. Ἑρπετόν.) Οὔτε ἑρπετὸν, οὔτε γυνὴ χρήζουσα τοῦ τεκεῖν ἐπιμίσγεται. ἢ οὕτως, οὐ χρήζει εἰληθυίας τουτέστι γεννήσεως, ὅτι πᾶν ζῶον εἰσιὸν ἐκεῖ μεμολυσμένον, ἄγονον ἐγίνετο, καὶ σκιὰν τὸ σῶμα αὐτοῦ οὐκέτι ἐποίει. Απιδανῆες.) Οἱ ἀρχαῖοι ἀρκάδες. Λύματα.) Καθάρματα. τὸ δὲ χυτλώσαιτο, ἀντὶ τοῦ ἀπολούσαιτο. Ἐρύμανθος δὲ ποταμὸς ἀρκαδίας. Οὔπω ἐλύσατο.) Ὕστερον μετὰ τοῦ τεκεῖν τὴν ῥέαν. Σαρωνίδας δρῦς.) Παρὰ τὸ σεσηρότα καὶ συνεστραμμένον τὸν

φλοιὸν ἔχειν. Τὸ δὲ ἤειρεν, καὶ ὤχησεν, ἀντὶ τοῦ ἐβάστασε.

Καρίωνος.) Λείπει ἡ ὑπέρ. πολλὸν δ' ὑπὲρ τοῦ Καρίωνος ἑρπετὰ τοὺς φωλαίους ἐποίησαν. Κινώπετα.) Τὰ θηρία. οἱονεὶ κινώπεδα. παρὰ τὸ ἐν τῷ ἐδάφει κινεῖσθαι. τὸ δὲ νίσετο, ἀντὶ τοῦ ἤρχετο, ἐπορεύετο. Κράθιν) Κράθις ποταμὸς ἀρκαδίας. Πολύστειον δὲ τὸ πολύψηφον, καὶ πολυπάτητον. Μετώπην.) Ποταμὸς ἀρκαδίας. Τόθι χρῶτα.) Τὸν σὸν χρῶτα ὦ ἄνα ἀπείρωσε φαιδρύνασα. Νέδη.) Ὄνομα νύμφης ὠκεανίνης θρεψαμένης τὸν δία.

Φιλύρην τε.) Μήτηρ χείρωνος τοῦ κενταύρου. Μαιώσαντο.) Ἔθρεψαν. Καυκώνων.) Ὄρος ἀρκάδων ὁ καύκων. Λέπρειον δέ, ἀπὸ λεπρέα τοῦ ποσειδῶνος, ὃς προσκαλεσάμενος εἰς ἀδηφαγίαν ἡρακλέα, καὶ ὑπ' ἐκείνου ἡττηθεὶς ἐφονεύθη. Λυκαονίης ἄρκτοιο.) Τῆς πρώην λεγομένης καλλιστοῦς. λυκάονος δὲ θυγατρός, ἐξ ἧς καὶ διὸς μεταβληθέντος εἰς ἄρτεμιν, γεννᾶται ὁ ἀρκάς, ἀφ' οὗ οἱ ἀρκάδες. Θενάς.) Θεναὶ πόλις καὶ ἄλσος. Προσεπηχύναντο.) Εἰς τοὺς πήχεις ἔλαβον. Τουτάκι.) Τοτηνικαῦτα. Κύδωνες.) Ἔθνος κρήτης. Ἀδρήστεια.) Ἀδελφὴ κουρήτων.

Λίκνῳ ἐνὶ.) Ἐν γὰρ λίκνοις τὸ παλαιὸν κατεκοίμιζον τὰ βρέφη, πλοῦτον καὶ καρποὺς οἰωνιζόμενοι. λίκνον οὖν τὸ κόσκινον. ἢ τὸ κούνιον, ἐν ᾧ τὰ παιδία τιθέασιν. Ἀμαλθείης) Οὕτως ἐκαλεῖτο ἡ αἲξ τὸν δία θρέψασα. λέγεται δὲ ἀπὸ μὲν τοῦ ἑνὸς κέρατος, ἀμβροσίαν ῥεῖν. ἀπὸ δὲ τοῦ ἄλλου νέκταρ. Ἔβρως.) Ἔφαγες. Οὖλα.) Κατὰ κλῆρον, ὑγιεινῶς. Περὶ πρύλιν.) Ἐνόπλιον. Ἐξαπιναῖα. τουτέστιν ἐξαίφνης ἐγένετο ἡ ἴδη πλέα μέλιτος. Ἐπιδαίσιον, μεμερισμένον. Δηναιοί.) Οἱ παλαιοί. Τίς δὲ κ' ἐπ' οὐλύμπῳ τε.) Τίς δ' ἂν φρόνιμος ἐπὶ ὀλύμπῳ καὶ ᾅδῃ κληρωθῆναι ἀνάσχοιτο. Νήπιλος δέ, ὁ ματαιόφρων. καὶ ἐστερημένος τοῦ αἰόλλειν καὶ κινεῖν τὸν νοῦν. Ἐπ' ἰσαίῃ γὰρ ὁ κλῆρος.) Ἐπ' ἴσων πραγμάτων χωρεῖ. ὁ οὐρανὸς δὲ καὶ ὁ ᾅδης πλεῖστον διαφέρουσι. Ψευδοίμην ἀΐοντος ἅ κεν πεπίθοιεν ἀκουήν.) Λείπει λέγων. τὸ δὲ πεπίθοιεν ἀντὶ τοῦ πείσειαν. Ἐσσῆνα.) Ἐσσὴν κυρίως ὁ βασιλεὺς

σιλεὺς τῶν μελισσῶν, νῦν δὲ ὁ τῶν ἀνδρῶν. Εἵσαο δίφρου.) Τὸ κράτος πλησίον ἵδρυσας τοῦ δίφρου. Θήκαο δ' οἰωνόν.) Τὸν ἀετόν. Εἵλεο δ' αἰζηῶν.) Νῦν καθόλου λέγει τῶν ἀνθρώπων. Ἐμπεράμους.) Τοὺς ἐμπόρους. Γεωμόρος.) Ὁ γεωργός. Ὑδείομεν.) Λέγομεν. Ἐπακτῆρας.) Κυνηγέτας. Χιτώνης.) Νηλεὺς ὁ Κόδρου ἀποικίαν θέμενος ἀπὸ Ἀθηνῶν, ἔλαβε χρησμὸν ἐγεῖραι ξόανον τῇ Ἀρτέμιδι ἀπὸ παγκαρπῶν ξύλων. καὶ δή ποτε ἑορτῆς τελουμένης τῇ Ἀρτέμιδι ἐν τῇ Χιτώνῃ, ἔστι δὲ δῆμος Ἀττικῆς, ἀπελθὼν εὗρε δρῦν πάμπολυν, καὶ διάφορον ἔχουσαν ἠρτημένην καρπόν. καὶ ἐκ τούτου ἐποίησεν ἄγαλμα τῇ θεᾷ. καὶ οὕτω μετῴκησεν ἐν Μιλήτῳ. ἀπὸ τοῦ δήμου οὖν ἔσχε τὴν ὀνομασίαν ἡ Ἄρτεμις. ἢ ὅτι τικτομένων τῶν βρεφῶν, ἀνετίθεσαν τὰ ἱμάτια τῇ Ἀρτέμιδι.

Τάξιν) Λαχμὸν, κλήρωσιν. Ἄκρης ἐν πολίεσσιν. ἐν ταῖς ἀκροπόλεσι καθέζῃ ὁρῶν τὰ δίκαια. Ῥυηφενίην.) Πλοῦτον. σύγκειται δὲ ἡ λέξις παρὰ τὸ ῥύδην καὶ ἄφενος. τουτέστι τὴν τοῦ πλούτου ῥύσιν. Ἡμετέρῳ μεδέοντι.) Περὶ τοῦ Πτολεμαίου ταῦτα λέγει. Οἱ δὲ.) Δηλαδὴ οἱ ἄλλοι βασιλεῖς. Πλειῶνι.) Ἐνιαυτῷ.

Ἄνυν.) Ἄνυσιν. τελείωσιν. Αὐτός.) Ὁ Ζεύς. Οὔτ' ἀρετῆς.) Καὶ Ἡσίοδος. πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ.

ΕΙΣ ΤΟΝ ΑΠΟΛΛΩΝΑ.



ΟΙΟΝ ὁ τὠπόλλωνος ἐσείσατο δάφνινος ὅρπηξ.
οἷα δ' ὅλον τὸ μέλαθρον, ἑκὰς ἑκὰς ὅστις ἀλιτρός.
καὶ δή που τὰ θύρετρα καλῷ ποδὶ Φοῖβος ἀράσσει.
οὐχ ὁράας, ἐπένευσεν ὁ Δήλιος ἡδύ τι φοῖνιξ
ἐξαπίνης. ὁ δὲ κύκνος ἐν ἠέρι καλὸν ἀείδει.

αὐτοὶ

αὐτοὶ νῦν κατοχῆες ἀνακλίνεσθε πυλάων,
αὐταὶ δὲ κληῖδες, ὁ γὰρ θεὸς οὐκέτι μακράν.
οἱ δὲ νέοι μολπήν τε καὶ ἐς χορὸν ἐντύνεσθε.
ὠπόλλων οὐ παντὶ φαείνεται, ἀλλ᾽ ὅ τις ἐσθλός.
ὅς μιν ἴδῃ, μέγας οὗτος, ὃς οὐκ ἴδε λιτὸς ἐκεῖνος.
ὀψόμεθ᾽ ὦ ἑκάεργε, καὶ ἐσσόμεθ᾽ οὔποτε λιτοί.
μήτε σιωπηλὴν κίθαριν, μήτ᾽ ἄψοφον ἴχνος
τοῦ φοίβου τοὺς παῖδας ἔχειν ἐπιδημήσαντος.
εἰ τελέειν μέλλουσι γάμον πολιήν τε κερεῖσθαι.
ἑστήξειν δὲ τὸ τεῖχος ἐπ᾽ ἀρχαίοισι θεμέθλοις.
ἠγασάμην τοὺς παῖδας, ἐπεὶ χέλυς οὐκέτ᾽ ἀεργός.
εὐφημεῖτ᾽ ἀΐοντες ἐπ᾽ ἀπόλλωνος ἀοιδῇ.
εὐφημεῖ καὶ πόντος ὅτε κλείουσιν ἀοιδοί,
ἢ κίθαριν ἢ τόξα λυκωρέος ἔντεα φοίβου.
οὐδὲ θέτις ἀχιλῆα κινύρεται αἴλινα μήτηρ,
ὁππόθ᾽ ἰὴ παιῆον ἰὴ παιῆον ἀκούσῃ.
καὶ μὲν ὁ δακρυόεις ἀναβάλλεται ἄλγεα πέτρος
ὅς τις ἐνὶ φρυγίῃ διερὸς λίθος ἐστήρικται,
μάρμαρον ἀντὶ γυναικὸς ὀϊζυρόν τι χανούσης.
ἰὴ ἰὴ φθέγγεσθε, κακὸν μακάρεσσιν ἐρίζειν.
ὃς μάχεται μακάρεσσιν, ἐμῷ βασιλῆϊ μάχοιτο.
ὅς τις ἐμῷ βασιλῆϊ, καὶ ἀπόλλωνι μάχοιτο.
τὸν χορὸν ὠπόλλων ὅ,τι κατὰ θυμὸν ἀείδει
τιμήσει. δύναται γὰρ, ἐπεὶ διὶ δεξιὸς ἧσται.
οὐδ᾽ ὁ χορὸς τὸν φοῖβον ἐφ᾽ ἓν μόνον ἦμαρ ἀείσει.
ἔστι γὰρ εὔυμνος. τίς ἂν οὐ ῥέα φοῖβον ἀείδει.

χρύσεα

χρύσεα τὠπόλλωνι, τό τ' ἐνδυτὸν ἥ τ' ἐπιπορπίς,
ἥ τε λύρη, τό τ' ἄεμμα τὸ λύκτιον, ἥ τε φαρέτρη.
χρύσεα καὶ τὰ πέδιλα. πολύχρυσος γὰρ ἀπόλλων,
καί τε πολυκτέανος, πυθῶνι κε τεκμήραιο.
καί κεν ἀεὶ καλός, καὶ ἀεὶ νέος. οὔποτε φοίβου
θηλείαις οὐδ' ὅσον ἐπὶ χνόος ἦλθε παρειαῖς.
αἱ δὲ κόμαι θυόεντα πέδῳ λείβουσιν ἔλαια.
οὐ λίπος ἀπόλλωνος ἀποστάζουσιν ἔθειραι,
ἀλλ' αὐτὴν πανάκειαν. ἐν ἄστει δ' ᾧ κεν ἐκεῖναι
πρῶκες ἔραζε πέσωσιν, ἀκήρια πάντ' ἐγένοντο.
τέχνῃ δ' ἀμφιλαφής. οὔ τις τόσον, ὅσον ἀπόλλων.
κεῖνος ὀϊστευτὴν ἔλαχ' ἀνέρα, κεῖνος ἀοιδόν.
φοίβῳ γὰρ καὶ τόξον ἐπιτρέπεται καὶ ἀοιδή.
κείνου δὲ θριαὶ, καὶ μάντιες. ἐκ δέ νυ φοίβου
ἰητροὶ δεδάασιν ἀνάβλησιν θανάτοιο.
φοῖβον καὶ νόμιον κικλήσκομεν, ἐξ ἔτι κείνου
ἐξ ὅτ' ἐπ' ἀμφρυσῷ ζευγήτιδας ἔτρεφεν ἵππους,
ἠϊθέου ὑπ' ἔρωτι κεκαυμένος ἀδμήτοιο.
ῥεῖά κε βουβόσιον τελέθει πλέον. οὐδέ κεν αἶγες
δεύοιντο βρεφέων ἐπιμηλάδες, ᾗσιν ἀπόλλων
βοσκομένῃς ὀφθαλμὸν ἐπήγαγεν, οὐδ' ἀγάλακτοι
οἴιες, οὐδ' ἄκυθοι. πᾶσαι δέ κεν εἶεν ὕπαρνοι.
ἡ δέ κε μουνοτόκος, διδυμοτόκος αἶψα γένοιτο.
φοίβῳ δ' ἑσπόμενοι πόλιας διεμετρήσαντο
ἄνθρωποι. φοῖβος γὰρ ἀεὶ πολίεσσι φιληδεῖ
κτιζομένῃς. αὐτὸς δὲ θεμείλια φοῖβος ὑφαίνει.

τετραέτης τὰ πρῶτα θεμείλια φοῖβος ἔπηξε
καλῇ ἐν ὀρτυγίῃ, περιηγέος ἐγγύθι λίμνης.
ἄρτεμις ἀγρώσσουσα καρήατα συνεχὲς αἰγῶν
κυνθιάδων φορέεσκεν. ὁ δ᾽ ἔπλεκε βωμὸν ἀπόλλων.
δείματο μὲν κεράεσσιν ἐδέθλια, πῆξε δὲ βωμὸν
ἐκ κεράων, κεραοὺς δὲ πέριξ ὑπεβάλλετο τοίχους.
ὧδ᾽ ἔμαθεν τὰ πρῶτα θεμείλια φοῖβος ἐγείρειν.
φοῖβος καὶ βαθύγειον ἐμὴν πόλιν ἔφρασε βάττῳ.
καὶ λιβύην ἐσιόντι, κόραξ ἡγήσατο λαῷ.
δεξιὸς οἰκιστῆρ, καὶ ὤμοσε τείχεα δώσειν
ἡμετέροις βασιλεῦσιν. ἀεὶ δ᾽ εὔορκος ἀπόλλων.
ὦ ἄπολλον. πολλοί σε βοηδρόμιον καλέουσι
πολλοὶ δὲ κλάριον. πάντῃ δέ τοι οὔνομα πουλύ.
αὐτὰρ ἐγὼ καρνεῖον. ἐμοὶ πατρώϊον οὕτω.
σπάρτη τοι καρνεῖε τόδε πρώτιστον ἕδεθλον.
δεύτερον αὖ θήρη. τρίτατόν γε μὲν ἄστυ κυρήνης.
ἐκ μέν σε σπάρτης ἕκτον γένος οἰδιπόδαο
ἤγαγε θηραίην ἐς ἀπόκτισιν. ἐκ δέ σε θήρης
οὖλος ἀριστοτέλης ἀσβυστίδι πάρθετο γαίῃ.
δεῖμε δέ τοι μάλα καλὸν ἀνάκτορον. ἐν δὲ πόληϊ
θῆκε τελεσφορίην ἐπετήσιον. ᾗ ἔνι πολλοὶ
ὑστάτιον πίπτουσιν ἐπ᾽ ἰσχίον ὦ ἄνα ταῦροι.
ἰὴ ἰὴ καρνεῖε πολύλλιτε. σεῖο δὲ βωμοὶ
ἄνθεα μὲν φορέουσιν ἐν εἴαρι. τόσσα περ ὧραι
ποικίλ᾽ ἀγινεῦσι ζεφύρου πνείοντος ἐέρσην,
χείματι δὲ κρόκον ἡδύν. ἀεὶ δέ τοι ἀέναον πῦρ,

οὐδέ ποτε

οὐδὲ ποτε χθιζὸν περιβόσκεται ἄνθρακα τέφρη.
ἦ ῥ' ἐχάρη μέγα φοῖβος, ὅτε ζωστῆρες ἐνυοῦς
ἀνέρες ὠρχήσαντο μετὰ ξανθῇσι λιβύσης
τέθμιαι. εὖτέ σφιν καρνειάδες ἤλυθον ὧραι.
οἱ δ' οὔπω πηγῆς κυρῆς ἐδύναντο πελάσαι
δωριέες. πυκινὴν δὲ νάπαις ἄζιλιν ἔναιον.
τοὺς μὲν ἄναξ ἴδεν αὐτός. ἑῇ δ' ἐπεδείξατο νύμφῃ,
στὰς ἐπὶ μυρτούσσης κερατώδεος. ἧχι λέοντα
ὑψηὶς κατέπεφνε, βοῶν σίνιν εὐρυπύλοιο.
οὐ κείνου χορὸν εἶδε θεώτερον ἄλλον ἀπόλλων.
οὐδὲ πόλει τόσ' ἔνειμεν ὀφέλσιμα τόσσα κυρήνῃ
μνωόμενος προτέρης ἁρπακτύος. οὐδὲ μὲν αὐτοὶ
βαττιάδαι φοίβοιο πλέον θεὸν ἄλλον ἔτισαν.
ἰὴ ἰὴ παιῆον ἀκούομεν, οὕνεκα τοῦτο
δελφός τοι πρώτιστον ἐφύμνιον εὕρετο λαός.
ἦμος ἑκηβολίην χρυσέων ἐπεδείκνυσο τόξων.
πυθῶ τοι κατιόντι συνήντετο δαιμόνιος θὴρ
αἰνὸς ὄφις. τὸν μὲν σὺ κατήναρες ἄλλον ἐπ' ἄλλῳ
βάλλων ὠκὺν ὀϊστόν. ἐπηύτησε δὲ λαὸς
ἰὴ ἰὴ παιῆον. ἵει βέλος. εὐθύ σε μήτηρ
γείνατ' ἀοσσητῆρα. τὸ δ' ἐξ ἔτι κεῖθεν ἀείδῃ.
ὁ φθόνος ἀπόλλωνος ἐπ' οὔατα λάθριος εἶπεν
οὐκ ἄγαμαι τὸν ἀοιδὸν, ὃς οὐδ' ὅσα πόντος ἀείδει.
τὸν φθόνον ὠπόλλων ποδί τ' ἤλασεν, ὧδέ τ' ἔειπεν.
ἀσσυρίου ποταμοῖο μέγας ῥόος, ἀλλὰ τὰ πολλὰ
λύματα γῆς καὶ πολλὸν ἐφ' ὕδατι συρφετὸν ἕλκει.

Δηοῖ δ' οὐκ ἀπὸ παντὸς ὕδωρ φορέουσι μέλισσαι.
ἀλλ' ἥ τις καθαρή τε καὶ ἀχράαντος ἀνέρπει
πίδακος ἐξ ἱερῆς ὀλίγη λιβὰς, ἄκρον ἄωτον.
χαῖρε ἄναξ. ὁ δὲ μῶμος ἵν' ὁ φθόρος, ἔνθα νέοιτο.

ΕΙΣ ΤΟΝ ΑΠΟΛΛΩΝΟΣ.

ΟΙΟΝ ὁ τὠπόλλωνος.) Ἀντὶ τοῦ οἵως, ὅπως. ἔστι δὲ θειασμός. λέγεται δ' ἐπὶ τῶν μαντευομένων τὰ θεῖα, καὶ ἐπιδημεῖν καὶ ἀποδημεῖν. καὶ ὅταν μὲν ἐπιδημῶσι τὰς μαντείας ἀληθεῖς εἶναι. ὅταν δὲ ἀποδημῶσι ψευδεῖς. ὡς γοῦν ἐπιδημοῦντος τοῦ θεοῦ, ταῦτα φησὶν ὁ καλλίμαχος. Αὐτοὶ νῦν.) Ἀντὶ τοῦ αὐτόματοι. Αὐταὶ δὲ, αὐτόματοι. Οὐχ ὁράας, ἐπένευσεν ὁ δήλιος.) Δεικτικῶς. λέγεται ὅτι παρὰ τῷ δένδρῳ ἐγέννησεν ἡ λητὼ τὸν ἀπόλλωνα. Ο δὲ κύκνος.) Ὀρνέον ἱερὸν ἀπόλλωνος. Ἀνακλίνεσθε.) Ὅμηρος. ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ' ἐπιθεῖναι. Εἰ τελέειν μέλλουσι γάμον.) Εἰ μέλλουσι καὶ γάμων ἐντὸς γενέσθαι, καὶ πολιᾶσθαι. καὶ γὰρ ἀκειρεκόμης ὁ ἀπόλλων. Ἑστήξειν.) Ἀπὸ τοῦ ἵστημι. παρακείμενος ἕστηκα. ἀπὸ τούτου ποιοῦσιν οἱ συρακούσιοι ἐνεστῶτα ἑστήκω. οὗ ὁ μέλλων ἑστήξω. καὶ τὸ ἀπαρέμφατον ἑστήξειν. Χέλυς.) Ἡ κιθάρα. Εὐφημεῖ.) Ἡσυχάζει. γαληνιᾷ. Κλείουσιν.) Ὑμνοῦσι. Κινύρεται.) Θρηνεῖ. κλαίει. Αἴλινα.) Ἤτοι θρηνητικά. Ἀναβάλλεται.) Ὑπερτίθεται. Βασιλῆϊ.) Τῷ πτολεμαίῳ τῷ εὐεργέτῃ. διὰ δὲ τὸ φιλόλογον αὐτὸν εἶναι ὡς θεὸν τιμᾷ. Τότ' ἐνδυτόν, ἥ τ' ἐπιπορπίς.) Ἐνδυτὸν τὸ ἱμάτιον. ἐπιπορπὶς δὲ, ἡ περόνη. Τό τ' ἄεμμα.) Ἡ νευρά. παρὰ τὸ ἑκατέρωθε δεδέσθαι. Λύκτος δ' ἐστὶ πόλις κρήτης. Πυθῶνί κε τεκμήραιο, ὅμηρος. οὐδ' ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει, φοίβου ἀπόλλωνος πυθοῖ ἐνὶ πετρηέσσῃ. Θηλείαις.) Ἁπαλαῖς. Χνόος.) Ψόφος. ξυσμός. Λεί

Βουσιν

Βουσὶν ἔλαια.) Σημείωσαι ὅτι τὸ ἔλαια πληθυντικῶς παρ' οὐδενὶ ἄλλῳ εὕρηται. Πανάκειαν.) Τὴν ἴασιν. Ἀμφιλαφής.) Ἔστι γὰρ τοξότης. ἀοιδός. μάντις. ἰατρός. καὶ ποιμήν. Πρῶκες.) Δρόσοι. σταγόνες. Ἀκήεια δὲ ἀσθενῆ τὰ νοσήματα. ἢ μᾶλλον ἄφθαρτα καὶ ἄνοσα πάντα γίνεται. Κείνου δὲ θριαί.) Μαντικαὶ ψῆφοι εἰσὶν αἱ θριαί. λέγεται δὲ αὐτὰς εὑρῆσθαι ὑπό τινων τριῶν νυμφῶν. διὰ τοῦτο καὶ θριαὶ ὠνομάσθησαν. οἱονεὶ τριαί. Ἐξ ὅτ' ἐπ' Ἀμφρυσῷ.) Ἀμφρυσὸν οἱ μὲν ποταμὸν Θεσσαλίας. οἱ δὲ πόλιν. Ἠϊθέου.) Ἀγάμου. ἄπαιδος. Ζευγίτιδας δὲ τὰς ὑπὸ ζυγὸν ἀγομένας. Βουβόσιον.) Ὁ τόπος ἔνθα οἱ βόες νέμονται. τὸ δὲ ἐπιμηλάδες, ἀντὶ τοῦ αἱ μετὰ τῶν μήλων νεμόμεναι. καὶ γὰρ καὶ τὰς αἶγας μῆλα λέγουσιν. ὡς Ὅμηρος ἐπεξηγεῖται. μῆλ' ὄϊές τε καὶ αἶγες ἰαύεσκον. εἰ δὲ μὲν ἐμηλάδες γράφεται, ἀντὶ τοῦ θήλειαί ἐστιν. Ἄκυθοι.) Ἄγονοι. κεῦθος γὰρ τὸ κύημα. Καλῇ ἐν Ὀρτυγίῃ περιηγέος.) Κυκλοτεροῦς. οὕτω γὰρ στρογγύλη λίμνη ἐν Ὀρτυγίᾳ καλεῖται. Ὀρτυγία δὲ ἡ Δῆλος, ἀπὸ τοῦ τὴν Λητὼ εἰς ὄρτυγα μεταβληθεῖσαν εἰς τὴν Δῆλον ἐλθεῖν φεύγουσαν τὴν Ἥραν.

Κυνθιάδων.) Κύνθος ὄρος τῆς Δήλου. Ἔφρασε Βάττῳ.) Λέγεται ὅτι οὗτος ὁ Βάττος ἄφωνος ἦν. ἀπῆλθεν οὖν εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν ὑπὲρ τοῦ τὸν θεὸν ἐρωτῆσαι περὶ τῆς φωνῆς. ὁ δὲ ἔχρησεν αὐτῷ οὐκέτι περὶ φωνῆς. ἀλλὰ περὶ μετοικεσίας. καὶ ὁ Βάττος πεισθεὶς τῷ χρησμῷ, ἦλθεν εἰς τὴν Λιβύην. λέγεται δὲ εἶναι πολλοὺς λέοντας ἐν ταύτῃ τῇ χώρᾳ. ἐπιδημήσας οὖν ὁ Βάττος, καὶ λέοντα αἰφνιδίως θεασάμενος, τῇ τοῦ φόβου ἀνάγκῃ βιασθεὶς φθέγξασθαι, διέρρηξε τὴν φλέβα, ἥτις τὴν ἐκείνου φωνὴν ἐπεῖχε. καὶ οὕτω φωνήεις ἐγένετο, καὶ τὴν Κυρήνην ἔκτισεν. ὅθεν φησὶν ὁ Καλλίμαχος.

Κόραξ ἡγήσατο.) Ὡς ἀνακείμενος τῷ Ἀπόλλωνι ὁ κόραξ. Ἡμετέροις βασιλεῦσι.) Τῷ Πτολεμαίῳ. Βοηδρόμιον καλέουσι.) Πολέμου ἐπελθόντος τοῖς Ἀθηναίοις, ἔχρησεν αὐτοῖς ὁ θεὸς μετὰ βοῆς ἐπιτίθεσθαι τοῖς πολεμίοις. οἱ δέ, τοῦτο ποιήσαντες, ἐνίκησαν, ὅθεν Βοηδρόμιος Ἀπόλλων. Καρνεῖον.) Ἀπὸ Κάρνου τοῦ μάντεως

τοῦ ἀναιρεθέντος ὑπὸ ἀλήτου. ὃς ἦν τῶν ἡρακλειδῶν. ὀργισθεὶς οὖν ἀπόλλων λοιμὸν ἐνέβαλλεν. Ἕκτον γένος οἰδιπόδαο.) Οἰδίπους. οὗ πολυνείκης. οὗ θέρσανδρος. οὗ αὐτεσίων. οὗ τισαμενός. οὗ θήρας. ὃς ἀπώκησεν εἰς θήραν τὴν νῆσον, τὴν νῦν οὕτω κληθεῖσαν.

Οὖλος ἀριστοτέλης.) Ὁ αὐτὸς καὶ βάττος λέγεται. οὖλος δὲ ὁ ὑγιὴς ὡς παρὰ τὴν φωνήν. καὶ γὰρ ὁ δοθεὶς αὐτῷ χρησμὸς τοῦτο παρεμφαίνει. Βάττ' ἐπὶ φωνὴν ἦλθες. ἄναξ δέ σε φοῖβος ἀνώγει, ἐς λιβύην ἐλθεῖν μηλοτρόφον οἰκιστῆρα. ἀσβυστίδα δὲ τὴν λευκὴν λέγει παρὰ τὴν ἄσβεστον. τοιαύτη γὰρ ἡ λιβύη λευκόγειος. Τελεσφορίην.) Ἑορτήν. θυσίαν. Κρόκον.) Κρόκος τὸ ἄνθος. παρὰ τὸ ἐν κρύει θάλλειν. Ζωστῆρες.) Περιφραστικῶς. οἱ πολεμικοί. Ὠρχήσαντο μετὰ ξανθῇσι.) Ὡς ἐπιτελούντων ἐν τῇ λιβύῃ ἑορτὴν καρνείῳ ἀπόλλωνι. Τέθμιαι.) Νόμιμοι. ὡρισμέναι. Κυρῆς ἐδύναντο.) Κρήνη ἐν κυρήνῃ. Δωριέας δὲ, τοὺς ἡρακλείδας λέγει, τοὺς ἀπὸ σπάρτης μετοικίσαντας εἰς θήραν, καὶ ἀπὸ θήρας εἰς κυρήνην. Ἄζιλιν,) Ὄρος καὶ ποταμὸς λιβύης. Τὰς μὲν ἄναξ.) Ἤγουν ὁ ἀπόλλων. Στὰς ἐπὶ μυρτούσης κερατώδεος.) Μυρτοῦσα ὄρος λιβύης. κερατώδεος δὲ τῆς κέρατα ἐχούσης. ἤτοι ἀκρωρείας. φαίνεται δὲ ἡ κυρήνη φονεύσασα ἐν τῇ λιβύῃ λέοντά τινα βλάπτοντα τὰς βοῦς τοῦ εὐρυπύλου. ἦν δὲ αὕτη κυνηγέτης. θυγάτηρ ὑψέως. Ὑψηΐς.) Ἡ κυρήνη. Ἀρπακτύος.) Τῇ κυρήνῃ κυνηγετούσῃ ἐν ὄρει θεσσαλίας περὶ πηλείῳ, συνεκαθεύδησεν ἀπόλλων. ἐξ ἧς τίκτεται ὁ ἀρισταῖος. Οὐκ ἄγαμαι τὸν ἀοιδόν. ὅς.) Ἐγκαλεῖ διὰ τούτων τοὺς σκώπτοντας αὐτὸν, μὴ δύνασθαι ποιῆσαι μέγα ποίημα. ὅθεν ἠναγκάσθη ποιῆσαι τὴν ἑκάλην. Ἀσυρίου ποταμοῖο μέγας.) Τὸν τῶν περσῶν λέγει, τὸν καλούμενον εὐφράτην.

ΕΙΣ ΤΗΝ ΑΡΤΕΜΙΝ.



ΡΤΕΜΙΝ, οὐ γὰρ ἐλαφρὸν ἀειδόντεσσι λαθέσθαι,
ὑμνέομεν. τῇ τόξα λαγωβολίαι τε μέλονται,
καὶ χορὸς ἀμφιλαφὴς, καὶ ἐν οὔρεσιν ἑψιάασθαι.
ἀρχόμενοι, ὡς ὅτε πατρὸς ἐφεζομένη γονάτεσσι
παῖς ἔτι κουρίζουσα τάδε προσέειπε γονῆα.
δός μοι παρθενίην αἰώνιον ἄππα φυλάσσειν.
καὶ πολυωνυμίην. ἵνα μή μοι φοῖβος ἐρίζῃ.
δὸς δ' ἰοὺς καὶ τόξα. ἔα πάτερ. οὔ σε φαρέτρην
οὐδ' αἰτέω μέγα τόξον. ἐμοὶ κύκλωπες ὀϊστοὺς
αὐτίκα τεχνήσονται, ἐμοὶ δ' εὐκαμπὲς ἄεμμα.
ἀλλὰ φαεσφορίην τε, καὶ ἐς γόνυ μέχρι χιτῶνα
ζώννυσθαι λεγνωτὸν, ἵν' ἄγρια θηρία καίνω.
δὸς δέ μοι ἑξήκοντα χορίτιδας ὠκεανίνας,
πάσας εἰνέτεας, πάσας ἔτι παῖδας ἀμίτρους.
δὸς δέ μοι ἀμφιπόλους ἀμνισίδας εἴκοσι νύμφας.
αἵτε μοι ἐνδρομίδας τε, καὶ ὁππότε μηκέτι λύγκας
μήτ' ἐλάφους βάλλοιμι, θοοὺς κύνας εὖ κομέοιεν.
δὸς δέ μοι οὔρεα πάντα. πόλιν δέ μοι ἥν τινα νεῖμον
ἥν τινα λῇς. σπαρνὸν γὰρ ὅτ' ἄρτεμις ἄστυ κάτεισιν.
οὔρεσιν οἰκήσω. πόλεσι δ' ἐπιμίξομαι ἀνδρῶν
μοῦνον ὅτ' ὀξείῃσιν ὑπ' ὠδίνεσσι γυναῖκες
τειρόμεναι καλέουσι βοηθόον. ᾗσι με μοῖραι

γεινο-

γινομένην τὸ πρῶτον ἐπεκλήρωσαν ἀρήγειν.
ὅττι με καὶ τίκτουσα καὶ οὐκ ἤλγησε φέρουσα,
μήτηρ. ἀλλ' ἀμογητὶ φίλων ἀπεθήκατο κόλπων.
Ὣς ἡ παῖς εἰποῦσα, γενειάδος ἤθελε πατρὸς
ἅψασθαι. πολλὰς δὲ μάτην ἐτανύσατο χεῖρας,
μέχρις ἵνα ψαύσειε. πατὴρ δ' ἐπένευσε γελάσσας.
φῆ δὲ καταρρέζων. ὅτε μοι τοιαῦτα θέαιναι
τίκτοιεν, τυτθόν κεν ἐγὼ ζηλήμονος ἥρης
χωομένης ἀλέγοιμι. φέρευ τέκος ὅσσ' ἐθελημὸς
αἰτίζεις. καὶ δ' ἄλλα πατὴρ ἔτι μείζονα δώσει.
τρὶς δέκα τοι πτολίεθρα καὶ οὐχ ἕνα πύργον ὀπάσσω.
τρὶς δέκα τοι πτολίεθρα, τὰ μὴ θεὸν ἄλλον ἀέξειν
εἴσεται, ἀλλὰ μόνην σὲ, καὶ ἀρτέμιδος καλέεσθαι.
πολλὰς δὲ ξυνῇ πόλιας διαμετρήσασθαι,
μεσσόγεως, νήσους τε, καὶ ἐν πάσῃσιν ἔσονται
ἀρτέμιδος βωμοί τε καὶ ἄλσεα, καὶ μὲν ἀγυιαῖς
ἔσσῃ καὶ λιμένεσσιν ἐπίσκοπος. ὥς ὁ μὲν εἰπὼν
μῦθον ἐπεκρήηνε καρήατι. βαῖνε δὲ κούρη
λευκὸν ἔπι κρηταῖον ὄρος κεκομημένον ὕλῃ.
ἔνθεν ἐπ' ὠκεανόν. πολέας δ' ἐπελέξατο νύμφας,
πάσας εἰνέτεας, πάσας ἔτι παῖδας ἀμίτρους.
χαῖρε δὲ καίρατος ποταμὸς μέγα χαῖρε δὲ τηθύς,
οὕνεκα λητωΐδι θυγατέρας πέμπον ἀμορβούς.
αὖθι δὲ κύκλωπας μετεκίαθε. τοὺς μὲν ἔτετμε
νήσῳ ἐνὶ λιπάρῃ· λιπάρῃ νέον, ἀλλὰ τότ' ἔσκεν
οὔνομά οἱ μελιγουνίς· ἐπ' ἄκμοσιν ἡφαίστοιο

ἑσταότας

ἑσταότας περὶ μύδρον. ἐπείγετο γὰρ μέγα ἔργον.
ἱππείην τετύκουν ποσειδάωνι ποτίστρην.
αἱ νύμφαι δ' ἔδδεισαν ὅπως ἴδον αἰνὰ πέλωρα,
πρηόσιν ὀσσείοισιν ἐοικότας. πᾶσι δ' ὑπ' ὀφρὺν
φάεα μουνόγληνα, σάκει ἴσα τετραβοείῳ,
δεινὸν ὑπογλαύσσοντα. καὶ ὁππότε δοῦπον ἄκουσαν
ἄκμονος ἠχήσαντος ἐπεὶ μέγα πουλύ τ' ἄημα·
φυσάων αὐτῶν τε βαρὺν στόνον. αὖε γὰρ αἴτνη
αὖε δὲ τρινακίη σικανῶν ἕδος. αὖε δὲ γείτων
ἰταλίη. μεγάλην δὲ βοὴν ἐπὶ κύρνος ἀΰτει.
εὖθ' οἵ γε ῥαιστῆρας ἀειράμενοι ὑπὲρ ὤμων,
ἢ χαλκὸν ζείοντα καμινόθεν, ἠὲ σίδηρον,
ἀμβολαδὶς τετύποντες, ἐπεὶ μέγα μοχθήσειαν.
τῷ σφέας οὐκ ἐτάλασσαν ἀκηδέες ὠκεανῖναι,
οὔτ' ἄντην ἰδέειν, οὔτε κτύπον οὔασι δέχθαι.
οὐ νέμεσις. κείνους δὲ καὶ αἱ μάλα μηκέτι τυτθαὶ
οὐδέποτ' ἀφρικτὶ μακάρων ὁρόωσι θύγατρες.
ἀλλ' ὅτε κουράων τις ἀπειθέα μητέρι τεύχοι,
μήτηρ μὲν κύκλωπας ἑῇ ἐπὶ παιδὶ καλιστρεῖ,
ἄργην, ἢ στερόπην. ὁ δὲ δώματος ἐκ μυχάτοιο
ἔρχεται ἑρμείης σποδιῇ κεχρημένος αἴθῃ.
αὐτίκα τὴν κούρην μορμύσσεται. ἡ δὲ τεκούσης
δύνει ἔσω κόλπους θεμένη ἐπὶ φάεσι χεῖρας.
κούρα σὺ δὲ προτέρω περ ἔτι τριέτηρος ἐοῦσα
εὖτ' ἔμολεν λητώ σε μετ' ἀγκαλίδεσσι φέρουσα
ἡφαίστου καλέοντος, ὅπως ὀπτήρια δοίη,

βρόντεώ σε στιβαροῖσιν ἐφεσσαμένου γονάτεσσι,
στήθεος ἐκ μεγάλου λασίης ἐδράξαο χαίτης.
ὤλοψας δὲ βίηφι. τὸ δ' ἄτριχον εἰσέτι καὶ νῦν
μεσσάτιον στέρνοιο μένει μέρος. ὡς ὅτε κόρσην
φωτὸς ἐνιδρυθεῖσα κόμην ἐπενείματ' ἀλώπηξ.
τῷ μάλα θαρσαλέη σφε τάδε προσελέξαο τῆμος.
κύκλωπες. ἦ μοί τι κυδώνιον εἰ δ' ἄγε τόξον
ἠδ' ἰοὺς κοίλην τε κατακληῖδα βελέμνων
τεύξατε. καὶ γὰρ ἐγὼ λητωϊὰς ὥσπερ ἀπόλλων.
αἰ δέ κ' ἐγὼ τόξοις μόνιον δάκος ἤ τι πέλωρον
θηρίον ἀγρεύσω, τὸ δέ κεν κύκλωπες ἔδοιεν.
ἔννεπες. οἱ δ' ἐτέλεσσαν. ἄφαρ δ' ὡπλίσσαο δαῖμον.
αἶψα δ' ἐπὶ σκύλακας πάλιν ἤϊες. ἵκεο δ' αὖλιν
ἀρκαδικὴν ἐπὶ πανός. ὁ δὲ κρέα λυγκὸς ἔταμνε
μαιναλίης, ἵνα οἱ τοκάδες κύνες εἶδαρ ἔδοιεν.
τὶν δ' ὁ γενειήτης δύο μὲν κύνας ἥμισυ πηγούς,
τρεῖς δὲ παρουατίους, ἕνα δ' αἰόλον, οἵρα λέοντας
αὐτοὺς ἂν ἐρύοντες ὅτε δράξαιντο δεράων
εἷλον ἔτι ζώοντας ἐπ' αὔλιον. ἑπτὰ δ' ἔδωκε
θάσσονας αὐράων κυνοσουρίδας. αἳ ῥα διῶξαι
ὤκισται νεβρούς τε καὶ οὐ μύοντα λαγωόν.
καὶ κοίτην ἐλάφοιο, καὶ ὕστριχος ἔνθα καλιαὶ,
σημῆναι, καὶ ζορκὸς ἐπ' ἴχνιον ἡγήσασθαι.
ἔνθεν ἀπερχομένη· μετὰ καὶ κύνες ἐσσεύοντο·
εὗρες ἐπὶ προμολῇς ὄρεος τοῦ παρρασίοιο
σκαιρούσας ἐλάφους μέγα τι χρέος. αἱ μὲν ἐπ' ὄχθης
αἰὲν

αἳ ἐν ἐβουκολέοντο μελαμψήφιδος ἀναύρου,
μάσσονες ἢ ταῦροι, κεράων δ' ἀπελάμπετο χρυσός.
ἐξαπίνης δ' ἐτάφες τε καὶ ὃν ποτὶ θυμὸν ἔειπες.
τοῦτό κεν ἀρτέμιδος πρωτάγριον ἄξιον εἴη.
πέντ' ἔσαν αἱ πᾶσαι. πίσυρας δ' ἕλες ὦκα θέουσα
νόσφι κυνοδρομίης, ἵνα τοι θοὸν ἅρμα φέρωσι.
τὴν δὲ μίαν κελάδοντος ὑπὲρ ποταμοῖο φυγοῦσαν,
ἥρης αἰνεσίῃσιν ἀέθλιον ἡρακλῆϊ
ὕστατον ὄφρα γένοιτο πάγος κεραύνιος ἔδεκτο.
ἄρτεμι παρθενίη, τιτυοκτόνε, χρύσεα μέν τοι
ἔντεα καὶ ζώνη. χρύσεον δ' ἐζεύξαο δίφρον.
ἐν δ' ἐβάλευ χρύσεια θεὰ κεμάδεσσι χαλινά.
ποῦ δέ σε τὸ πρῶτον κερόεις ὄχος ἤρξατ' ἀείρειν.
αἵμῳ ἐπὶ θρηϊκίῳ. τόθεν βορέαο κατᾶιξ
ἔρχεται ἀχλαίνοισι δυσαέα κρυμὸν ἄγουσα.
ποῦ δ' ἔταμες πεύκην. ἀπὸ δὲ φλογὸς ἥψαο ποίης.
μυσῷ ἐν ὀλύμπῳ. φάεος δ' ἐνέηκας ἀϋτμὴν
ἀσβέστου. τό ῥα πατρὸς ἀποστάζουσι κεραυνοί.
ποσσάκι δ' ἀργυρέοιο θεὴ πειρήσαο τόξου.
πρῶτον ἐπὶ πτελέην. τὸ δὲ δεύτερον ἧκας ἐπὶ δρῦν.
τὸ τρίτον αὖτ' ἐπὶ θῆρα. τὸ τέτρατον οὐκέτ' ἐπὶ δρῦν.
ἀλλά μιν εἰς ἀδίκων ἔβαλες πόλιν. οἵ τε περὶ σφέας
οἵ τε περὶ ξείνους, ἀλιτήμονα πολλ' ἐτέλεσκον.
σχέτλιοι, οἷς τύνη χαλεπὴν ἐμμάξεαι ὀργήν.
κτήνεα σφιν λοιμὸς καταβόσκεται, ἔργα δὲ πάχνη.
κείρονται δὲ γέροντες ἐφ' υἱάσιν. αἱ δὲ γυναῖκες,

ἢ βληταὶ θνήσκουσι λεχωΐδες, ἠὲ φυγοῦσαι
τίκτουσιν. τῶν δ' οὐδὲν ἐπὶ σφυρὸν ὀρθὸν ἀνέστη.
οἷς δέ κεν εὐμειδής τε καὶ ἵλαος αὐγάσσειε,
κείνοις εὖ μὲν ἄρουρα φέρει στάχυν. εὖ δὲ γενέθλη
τετραπόδων. εὖ δ' ὄλβος ἀέξεται. οὐδ' ἐπὶ σῆμα
ἔρχονται, πλὴν εὖ τε πολυχρόνιόν τι φέρωσιν.
οὐδὲ διχοστασίη τρώγει γένος. ἥ τε καὶ εὖ περ
οἴκους ἑστηῶτας ἐσίνατο. ταὶ δὲ θυωρὸν
εἰνάτερες γαλόῳ τε μίαν πέρι δίφρα τίθενται
πότνια. τῶν εἴη μὲν ἐμοὶ φίλος ὅς τις ἀληθής.
εἴην δ' αὐτὸς ἄνασσα. μέλοι δέ μοι αἰὲν ἀοιδή.
τῇ ἔνι μὲν λητοῦς γάμος ἔσσεται. ἐν δὲ σὺ πολλή,
ἐν δὲ καὶ ἀπόλλων. ἐν θ' οἱ σέο πάντες ἄεθλοι.
ἐν δὲ κύνες, καὶ τόξα, καὶ ἄντυγες. αἵ τε σε ῥεῖα
θηητὴν φορέουσιν ὅτ' ἐς διὸς οἶκον ἐλαύνεις.
ἔνθα τοι ἀντιόωντες ἐνὶ προμολῇσι δέχονται·
ὅπλα μὲν ἑρμείης ἀκακήσιος· αὐτὰρ ἀπόλλων,
θηρίον ὅττι φέρῃσθα. πάροιθε δὲ πρίν περ ἱκέσθαι
καρτερὸν ἀλκείδην. νῦν δ' οὐκ ἔτι τοῦτον ἄεθλον·
φοῖβος ἔχει. τοῖος γὰρ ἀεὶ τιρύνθιος ἄκμων
ἕστηκε προπυλαίων ποτιδέγμενος. εἴ τι φέρουσα
νεῖαι πῖον ἔδεσμα. θεοὶ δ' ἐπὶ πάντες ἐκείνῳ
ἄλληκτον γελόωσι. μάλιστα δὲ πενθερὴ αὐτὴ
ταῦρον ὅτ' ἐκ δίφροιο μάλα μέγαν, ἢ ὅτε χλούνην
κάπρον ὀπισθιδίοιο φέροι ποδὸς ἀσπαίροντα.
κερδαλέῳ μύθῳ σε θεὴ μάλα τῷδε πινύσκει.

βάλλε

βάλλε κακοὺς ἐπὶ θῆρας ἵνα θνητοῖσι βοηθὸν
ὥς ἐμὲ κικλήσκουσιν. ἔα πρόκας, ἠδὲ λαγωοὺς
οὔρεα βόσκεσθαι. τί δέ κεν πρόκες ἠδὲ λαγωοὶ
ῥέξειαν. σύες ἔργα, σύες φυτὰ λυμαίνονται.
καὶ βόες ἀνθρώποισι κακὸν μέγα. βάλλ' ἐπὶ καὶ τούς.
Ὣς ἔνεπεν. ταχινὸς δὲ μέγαν περὶ θῆρα πονεῖτο.
οὐ γὰρ ὅ γε φρυγίῃ περ ὑπὸ δρυῒ γυῖα θεωθεὶς
παύσατ' ἀδηφαγίης. ἔτι οἱ πάρα νηδὺς ἐκείνη
τῇ ποτ' ἀροτριάοντι συνήντετο θειοδάμαντι.
σοὶ δ' ἀμνισιάδες μὲν ὑπὸ ζεύγλης ἐκλυθείσας
ἥρης ἐκ λειμῶνος ἀμησάμεναι φορέουσιν,
ὠκύθοον τριπέτηλον. ὃ καὶ Διὸς ἵπποι ἔδουσιν.
ἐν καὶ χρυσείας ὑπὸ ληνίδας ἐπλήσαντο
ὕδατος. ὄφρ' ἐλάφοισι ποτὸν θυμάρμενον εἴη.
αὐτὴ δ' ἐς πατρὸς δόμον ἔρχεαι. οἱ δέ σ' ἐφ' ἕδρην
πάντες ὁμῶς καλέουσι. σὺ δ' ἀπόλλωνι παρίζεις.
ἡνίκα δ' αἱ νύμφαι σε χορῷ ἔνι κυκλώσονται
ἀγχόθι πηγάων αἰγυπτίου εἰνωποῖο,
ἢ πιτάνης. καὶ γὰρ πιτάνη σέθεν. ἢ ἐνὶ λίμναις,
ἢ ἵνα δαῖμον ἀλὰς ἀραφηνίδας οἰκήσουσα
ἦλθες ἀπὸ σκυθίης, ἀπὸ δ' εἴπαο τέθμια ταύρων,
μὴ νειὸν τημοῦτος ἐμαὶ βόες εἵνεκα μισθοῦ
τετράγυον τέμνοιεν ὑπ' ἀλλοτρίῳ ἀροτῆρι.
ἦ γάρ κεν γυιαί τε καὶ αὐχένα κεκμηυῖαι
κόπρον ὕπο προγένοιντο, καὶ εἰ συμφαλίδες εἶεν,
εἰναετιζόμεναι κεραλκέες. αἳ μέγ' ἄρισται

τέμνειν ὦλκα βαθεῖαν. ἐπεὶ θεὸς οὔ ποτ' ἐκεῖνον
ἦλθε παρήλιος καλὸν χορόν· ἀλλὰ θεῆται
δίφρον ἐπιστήσας, τὰ δὲ φάεα μηκύνονται.
τίς δέ νύ τοι νήσων, ποῖον δ' ὄρος εὔαδε πλεῖστον.
τίς δὲ λιμήν. ποίη δὲ πόλις. τίνα δ' ἔξοχα νυμφέων
φίλαο. καὶ ποίας ἡρωίδας ἔσχες ἑταίρας.
εἰπὲ θεά. σὺ μὲν ἄμμιν, ἐγὼ δ' ἑτέροισιν ἀείσω.
νήσων μὲν δολίχη, πολίων δέ τοι εὔαδε πέργη.
τηΰγετον δ' ὀρέων. λιμένες γε μὲν εὐρίποιο.
ἔξοχα δ' ἀλλάων γορτυνίδα φίλαο νύμφην,
ἐλλοφόνον βριτόμαρτιν, ἐύσκοπον. ἧς ποτε μίνως
πτοιηθεὶς ὑπ' ἔρωτι κατέδραμεν οὔρεα κρήτης.
ἡ δ' ὅτε μὲν λασίῃσιν ὑπὸ δρυσὶ κρύπτετο νύμφη,
ἄλλοτε δ' εἱαμενῇσιν. ὁ δ' ἐννέα μῆνας ἐφοίτα
παίπαλά τε κρημνούς τε, καὶ οὐκ ἀνέπαυσε διωκτύν,
μέσφ' ὅτε μαρπτομένη καὶ δὴ σχεδὸν ἥλατο πόντον,
πρηόνος ἐξ ὑπάτοιο. καὶ ἔνθορεν εἰς ἁλιήων
δίκτυα. τά σφ' ἐσάωσαν. ὅθεν μετέπειτα κύδωνες
νύμφαν μὲν δίκτυναν, ὄρος δ' ὅθεν ἥλατο νύμφη
δικταῖον καλέουσιν. ἀνεστήσαντο δὲ βωμούς,
ἱερά τε ῥέζουσι. τὸ δὲ στέφος ἤματι κείνῳ,
ἢ πίτυς, ἢ σχῖνος, μύρτοιο δὲ χεῖρες ἄθικτοι.
δὴ τότε γὰρ πέπλοισιν ἐνέσχετο μύρσινος ὄζος
τῆς κούρης ὅτ' ἔφευγεν. ὅθεν μέγα χώσατο μύρτῳ.
οὖπι ἄνασσ' εὐῶπι, φαεσφόρε, καὶ δέ σε κείνης
κρηταέες καλέουσιν ἐπώνυμον ἐκ νύμφης.

καὶ μὴν

καὶ μὴν κυρήνην ἑταρίσσαο. τῇ ποτ' ἔδωκας
αὐτὴ θηρητῆρε δύω κύνε. τοῖς ἔνι κούρη
ὑψηῒς παρὰ τύμβον ἰώλκιον ἔμμορ' ἀέθλου.
καὶ κεφάλου ξανθὴν ἄλοχον δηϊονίδαο
πότνια σὴν ὁμόθηρον ἐθήκαο. καὶ δέ σε φασὶ
καλὴν ἀντίκλειαν ἴσον φαέεσσι φιλῆσαι.
αἱ πρῶται θοὰ τόξα καὶ ἀμφ' ὤμοισι φαρέτρας
ἰοδόκους ἐφόρησαν. ἀσύλωτοι δέ σφιν ὦμοι
δεξιτεροὶ, καὶ γυμνὸς ἀεί παρεφαίνετο μαζός.
ᾔνησας δ' ἔτι πάγχυ ποδορρώρην ἀταλάντην,
κούρην ἰασίοιο συοκτόνον ἀρκασίδαο.
καὶ ἑ κυνηλασίην τε καὶ εὐστοχίην ἐδίδαξας.
οὔ μιν ἐπίκλητοι καλυδωνίου ἀγρευτῆρες
μέμφονται κάπροιο. τὰ γὰρ σημήϊα νίκης
ἀρκαδίην εἰσῆλθεν, ἔχει δ' ἔτι θηρὸς ὀδόντας.
οὐδὲ μὲν ὑλαῖόν τε καὶ ἄφρονα ῥοῖκον ἔολπα
οὐδέ περ ἐχθαίροντας ἐν ἅιδι μωμήσασθαι
τοξότιν. οὐ γάρ σφιν λαγόνες συνεπιψεύσονται,
τάων μαιναλίη νᾶε φόνῳ ἀκρώρεια.
πότνια. πουλυμέλαθρε. πολύπτολι. χαῖρε χιτώνη
μιλήτῳ ἐπίδημε. σὲ γὰρ ποιήσατο νηλεὺς
ἡγεμόνην. ὅτε νηυσὶν ἀνήγετο κεκροπίηθεν.
χησιὰς. ἰμβρασίη. πρωτόθρονε. σοὶ δ' ἀγαμέμνων
πηδάλιον νηὸς σφετέρης ἐγκάτθετο νηῷ
μείλιον, ἀπλοΐης, ὅτε οἱ κατέδησας ἀήτας.
τεύκρων ἡνίκα νῆες ἀχαιΐδες ἄστεα κήδειν

ἔπλεον

ἔπλεον ἀμφ᾽ ἑλένῃ ῥαμνουσίδι θυμωθεῖσαι.
ἦ μέν τοι προῖτός γε δύο ἐκαθίσσατο νηοὺς
ἄλλον μὲν κορίης, ὅτι οἱ συνελέξαο κούρας,
οὔρεα πλαζομένας ἀξείνια. τὸν δ᾽ ἐνὶ λούσοις
ἡμέρῃ. οὕνεκα θυμὸν ἀπ᾽ ἄγριον εἵλεο παίδων.
σοὶ καὶ ἀμαζονίδες πολέμου ἐπιθυμήτειραι
ἔν κοτε παῤῥαλίῃ ἐφέσου βρέτας ἱδρύσαντο
φηγῷ ὑπὸ πρέμνῳ. τέλεσεν δέ τοι ἱερὸν ἱππώ.
αὐταὶ δ᾽ οὖπι ἄνασσα περὶ πρύλιν ὠρχήσαντο.
πρῶτα μὲν ἐν σακέεσσιν ἐνόπλιον. αὖθι δὲ κύκλῳ
στησάμεναι χορὸν εὐρύν. ὑπήεισαν δὲ λίγειαι
λεπταλέον σύριγγες, ἵνα πλήσσωσιν ὁμαρτῇ.
οὐ γὰρ πω νέβρεια δι᾽ ὀστέα τετρήνοντο
ἔργον ἀθηναίης ἐλάφῳ κακόν. ἔδραμε δ᾽ ἠχὼ
σαρδιάς, ἔς τε νομὸν βερεκύνθιον. αἱ δὲ πόδεσσιν
οὖλα κατεκροτάλιζον. ἐπεψόφεον δὲ φαρέτραι.
κεῖνο δέ τοι μετέπειτα περὶ βρέτας εὐρυθέμεθλον
δωμήθη. τοῦ δ᾽ οὔτι θεώτερον ὄψεται ἠὼς
οὐδ᾽ ἀφνειότερον. ῥέα κεν πυθῶνα παρέλθοι.
τῷ ῥα καὶ ἠλαίνων ἀλαπαξέμεν ἠπείλησε,
λύγδαμις ὑβριστής. ἐπὶ δὲ στρατὸν ἱππημολγῶν
ἤγαγε κιμμερίων ψαμάθῳ ἴσον. οἵ ῥα παρ᾽ αὐτὸν
κεκλιμένοι ναίουσι βοὸς πόρον ἰναχιώνης.
ἆ, δειλὸς βασιλέων. ὅσον ἤλιτεν. οὐ γὰρ ἔμελλεν
οὔτ᾽ αὐτὸς σκυθίηνδε παλιμπετὲς, οὔτε τις ἄλλος
ὅσσων ἐν λιμῶνι καϋστρίῳ ἔσταν ἄμαξαι,

νοστήσειν. ἐφέσου γὰρ ἀεὶ τεὰ τόξα πρόκειται.
πότνια μουνυχίη. λιμενοσκόπε χαῖρε φεραίη.
μή τις ἀτιμήσῃ τὴν ἄρτεμιν. οὐδὲ γὰρ οἰνεῖ
βωμὸν ἀτιμάσσαντι, καλοὶ πτόλιν ἦλθον ἀγῶνες.
μήδ᾽ ἐλαφηβολίην, μήδ᾽ εὐστοχίην ἐριδαίνειν.
οὐδὲ γὰρ ἀτρείδης ὀλίγῳ ἐπεκόμπασε μισθῷ.
μηδέ τινα μνᾶσθαι τὴν παρθένον. οὐδὲ γὰρ ὦτος
οὐδὲ μὲν ὠαρίων ἀγαθὸν γάμον ἐμνήστευσαν.
μηδὲ χορὸν φεύγειν ἐνιαύσιον. οὐδὲ γὰρ ἱππὼ
ἀκλαυτὶ περὶ βωμὸν ἀπείπατο κυκλώσασθαι.
χαῖρε μέγα κρείουσα, καὶ εὐάντησον ἀοιδῇ.

ΕΙΣ ΤΟΝ ΑΡΤΕΜΙΔΟΣ.

ΑΡΤΕΜΙΝ οὐ γὰρ ἐλαφρὸν ἀειδόντεσσι.) Τὸ ἑξῆς, ἄρτεμιν ὑμνοῦμεν ἀρχόμενοι. Ἑψιάασθαι.) Διατρίβειν. παίζειν. Ἐφεζομένη γονάτεσσιν.) Ὅμηρος. οὐδέ τί μιν παῖδες ποτὶ γούνασι παππάζουσιν. Ἔα πάτερ.) Τὸ ἔα δασυνόμενον καὶ ὀξυνόμενον, τὰ ἴδια ἢ τὰ ἀγαθὰ δηλοῖ. ψιλούμενον δὲ καὶ παροξυνόμενον, τὸ συγχώρει. καὶ δίδου. καὶ τὸ ὑπῆρχον δέ, εἰ τότε κοῦρος ἔα. Ἀέμμα.) Ἡ νευρά. Ἀλλὰ φαεσφορίην τε.) Ἡ ὅτι λαμπαδοῦχος. ἡ αὐτὴ γὰρ τῇ ἑκάτῃ. ἢ ὅτι τὰς μαιευομένας προάγει εἰς φῶς. Λεγνωτόν.) Τὸ ἔχον ᾤαν. τουτέστι τὸ ἄκρον λῆγον τοῦ ἱματίου. λέγονται γοῦν αἱ ᾦαι τὰ λώματα. οἱ κρωσσοί. ἅπερ ὅμηρος θυσσάνους καλεῖ. τῶν ἑκατὸν θύσανοι παγχρύσεοι. τὸ δὲ ἑξῆς ἄρτεμοι, ὁπότε δὴ μὴ λύγκας ἐνδρομίδας τε καὶ θοοὺς κύνας εὖ κομέοιεν.

Ἀμίτρους.) Ἀζώστους. μὴ διαπαρθενευομένας. μίτρας γὰρ ἐζώννυντο ἃς ἔλυον ὅταν ἔμελλον διαπαρθενεύεσθαι. ἢ ὅτι οἱ ἄγαμοι γυμνοὶ ἐβάδιζον. Ἀμνισίδας.) Ἀμνισὸς ποταμὸς κρήτης· ἀφ᾽ οὗ

κρητικάς. Ενδρομίδας.) Τὰ ὑποδήματα. Ην ἵνα νεῖμον.) Πε-
ριττὸν τὸ ἤν. Λῆς.) Αντὶ τοῦ θέλεις.) Κατ' ἀποβολὴν τῆς θε συλλα-
βῆς. κέχρηται πολλαχοῦ τῇ λέξει καὶ ὁ θεόκριτος. Λῆς ποτὶ ταᾶν
νυμφᾶν, λῆς αἰπόλε τῇδε καθίξας. Σπαρνόν.) Σπάνιον. Μοῦ-
νον ὅτ' ὀξείαισιν ὑπ' ὠδίνεσσι γυναῖκες.) Η αὐτὴ γάρ ἐστι τῇ εἰλη-
θυίᾳ. Μέχεις.) Περιττόν ἐστι. Τυτθὸν κεν.) Αντὶ τοῦ οὐδὲ τυτθόν.
Καὶ ἀρτέμιδος.) Από κοινοῦ τὸ εἴσεται. Διαμεμβλήκασι.) Από
κοινοῦ τὸ ὀπάσω σοι μετὰ τὰς λ. κοινῇ δὲ σοὶ καὶ τῷ ἀπόλλωνι πολλάς.
Επεκρήηνε καρήατι.) Ομηρος. ὅτι κεν κεφαλῇ κατανεύσω. Λεύ-
κὸν ἔπι κρηταῖον.) Ορος κρήτης. ἑνικῶς οὕτως εἴρηκε. λευκὰ δὲ
ὄρη λέγονται πληθυντικῶς. Χαῖρε δὲ καίρατος.) Ποταμὸς κρή-
της, καὶ πόλις ἡ καίρατος οὕτω λεγομένη. Αμορβούς.) Ακολού-
θους. παρὰ τὸ ἅμα πορεύεσθαι. Τοὺς μὲν ἔτετμε.) Τὸ ἑξῆς. τοὺς
μὲν ἔτετμεν ὑπ' ἄκμοσιν ἡφαίστοιο. νῆσος δέ ἐστιν ἡ λιπάρα σικε-
λίας. ἔνθα ἦν τὰ χαλκεῖα ἡφαίστου. ἔστι δὲ μία τῶν αἰολίδων. λέ-
γεται δ' ὅτι σιδηρᾶ διάφορα θέντες ἐν αὐτῇ ναῦται ἕωθεν εὑ-
ρήκασι αὐτὰ ἐκ τῆς ἀναδόσεως τοῦ πυρὸς πεπανθέντα. καὶ διὰ
τοῦτο ἐκλήθη ἡ νῆσος λιπάρα διὰ τὸ αὐτὰ διάφορα ὄντα, ἐν γενέ-
σθαι. Περὶ μύδρον.) Σίδηρον πεπυρακτωμένον, παρὰ τὸ μύρε-
σθαι καὶ διαῤῥεῖν. Πρηόσιν ὀσσείησιν.) Οσσα ὄρος μακεδονίας.
Φάεα μουνόγληνα.) Καὶ ἡσίοδος. κυκλοτερὴς δ' ὀφθαλμὸς
ἔεις. Γλαύσσοντα.) Υπολάμποντα ὅθεν καὶ γλαῦκος. Αὐτῶν τε
βαρὺν στόνον, ἀπὸ κοινοῦ τὸ ἔδδεισαν. Αἴτνη.) Ορος σικελίας. Κύρ-
νος.) Νῆσος ἀντικρὺ τῆς σικελίας ἡ κύρνος ἐστί. Εὖθ' οἵ γε ῥαιστῆ-
ρας.) Τὸ ἑξῆς. ἐπεὶ μέγα πολὺ τὸ ἄγμα εὖθ' οἵ γε ῥαιστῆρας. λέγει δὲ
τὰς σφύρας ῥαιστῆρας παρὰ τὸ ῥαίειν καὶ φθείρειν τὰ ὑποπίπτον-
τα. Αμβολαδίς.) Εκδιαδοχῆς. Ακηδέες.) Αφοβοι. Αἰθῇ.)
Τῇ κεκαυμένῃ, τῇ μελαίνῃ. Μορμύσσεται.) Εκφοβεῖ. Οππως
ὀπτήρια δοίη.) Τὰ ὑπὲρ τοῦ ἰδεῖν δῶρα. Ωλοψας.) Απέτιλας,
ἐλέπισας. Κόμην ἐπινέμεται ἀλώπηξ.) Πάθος περὶ τὴν κε-
φαλὴν γινόμενον. ἀπὸ μεταφορᾶς τοῦ ζώου. τὸ γὰρ ζῶον τοῦτο λέ-

γεται

γίνεται ὅτι ἔνθα ἂν οὐρήσῃ ἄγονος ὁ τόπος περὶ ἔτι ἐκείνῳ γίγνεται.

Κυδώνιον.) Ἔθνος κρήτης. ἀφ' οὗ κρητικόν. Κατακληΐδα.) τὴν φαρέτραν. Μόνιον δαδηός.) Κατὰ μόνας νεμόμενον. Ὁ δὲ κρέα λυγκός.) Εἶδος θηρίου. οὗ τὸ οὖρον πήγνυται. ὃ καλοῦσι λυγκούριον. Μαιναλίης.) Μαίναλον ὄρος ἀρκαδίας. Πηγούς.) Λευκούς. Καὶ ὅμηρος πηγεσίμαλλον. Κυνοσουρίδας.) Τὰς ὑπὸ κυνῶν καὶ ἀλωπέκων τικτομένας κύνας. ἢ τὰς λακωνικάς. κυνοσουρὶς γὰρ τόπος λακωνικῆς. Καὶ οὐ μύοντα λαγωόν.) Ὁ γὰρ λαγωὸς καὶ ἐν τῷ κοιμᾶσθαι οὐ μύει. Καὶ ὕστριχος.) Ὕστριξ, θηρίον τι ταχύτατον. Προμολῆς.) Ταῖς διεξόδοις τοῦ παρρασίου ὄρους ἀρκαδίας. Μελαμψήφιδος ἀναύρου.) Ποταμὸς θεσσαλίας ὁ ἄναυρος. Κεράων δ' ἀπελάμπετο χρυσός. Σημείωσαι ὅτι τὰς θηλείας ἐλάφους κερατοφόρους εἶπε. Κελάδοντος.) Ποταμὸς ἀρκαδίας. Κεραυνίος.) Λόφος ἀρκαδίας. Τιτυοκτόνε.) Τιτυὸς βιασάμενος λητώ, ἀνῃρέθη ὑπὸ ἀπόλλωνος καὶ ἀρτέμιδος. Αἵμω ἔπι.) Ὄρος θρᾴκης. Καταῖξ δέ, ἡ λεγομένη καταιγίς. Μυσῷ ἐν οὐλύμπῳ.) Ἔστι γὰρ καὶ μακεδονίας. Ἐμμάξεαι.) Ἐμβάλῃς. Κτεάτεφιν.) Φιν χωρὶς τοῦ σ διὰ τὸ μέτρον. Ἡ βλητοί.) Βεβλημέναι ὑπὸ ἀρτέμιδος. Τρώγει.) Τρύχει, φθείρει.

Ταὶ δὲ θυωρόν.) Θυωρὸς ἡ φιλικὴ τράπεζα. κυρίως δὲ ἡ θεοῖς ἀνατιθεμένη. τὸ δὲ ἑξῆς, περὶ μίαν θυωρὸν τὰ δίφρα τίθενται αἱ εἰνάτερες καὶ αἱ γαλόῳ. Εἴη μὲν ἐμοὶ φίλος.) Εἴη μοι φίλος, ὅστις ὑπὸ σοῦ προνοεῖται. εἴην δὲ καὶ αὐτός. Τόξα καὶ ἄντυγες.) Ἀπὸ τῆς ἄντυγος τὸ ὅλον ἅρμα σημαίνει. Ἀκακήσιος.) Ἀπὸ ὄρους ἀρκαδίας. ἢ ὁ μηδενὸς κακοῦ παραίτιος ὤν. Τιρύνθιος ἄκμων.) Ὁ μὴ καμὼν ἐπὶ τοῖς ἄθλοις ἡρακλῆς. Γηθόρη.) Ἡ ἥρα. Πινύσκει.) Σωφρονίζει. κολακεύει ὁ ἡρακλῆς. Ἔα πρόκας.) Διὰ τὴν ἀδηφαγίαν τὰ μείζω τῶν ζώων κελεύει αὐτὴν ἀγρεύειν. Φρυγίη.) Φρυγία ὄρος τραχῖνος. ἔνθα ἐκάη ὁ ἡρακλῆς. Θειοδάμαντι.) Βασιλεὺς δρυόπων ὁ θειοδάμας. Ὠκύθοον τριπέτηλον.) Τὸ ταχέως ἀνατέλλον, τρίφυλλον. Ὑπολγνίδας.) Πυέλους, ποτίστρας. Ἡνίκα δ' αἱ νύμφαι σε.) τὸ ἑξῆς

ἡνίκα αἱ νύμφαι μὴ νειὸν τημοῦτος. Ἰνωποῖο.) Ἰνωπὸς, ποταμὸς δήλου. αἰγύπτιος δὲ διὰ τὸν νεῖλον. ὅτι καὶ αὐτὸς ἐκεῖ πλημμυρεῖ. ἢ ὅτι λέγεται τοῦ ὕδατος τοῦ νείλου μετέχειν λαθραίως.

Πιτάνη δὲ, πόλις μακεδονίας. Ἡ ἐνὶ λίμναις.) Λίμναι, δῆμος ἀττικῆς. ἔνθα τιμᾶται ἡ ἄρτεμις. Ἁλὰς ἀραφανίδας.) Δύο ἁλαὶ δῆμοι τῆς ἀττικῆς, ἁλαὶ ἀραφανίδες, καὶ ἁλαὶ ζωνίδες.

Τέθμια.) Τὰ νόμιμα τῶν ταυροσκυθῶν. τὸ θύειν τοὺς ξένους.

Τημοῦτος.) Τηνικαῦτα ὑπὸ ἀλλοτείω. τὸ ἑξῆς. ἡνίκα αἱ νύμφαι τὴν ἄρτεμιν περὶ χορῷ κυκλώσονται, μὴ γένοιτο τὰς ἐμὰς βοῦς ἐπ' ἀλλοτείῳ μισθῷ ἐργάζεσθαι. καὶ γὰρ ὁ ἥλιος ἐπέχει τὸν ἑαυτοῦ δρόμον, καὶ αὐτὸς ἐφορῶν τὸν χορὸν τῶν νυμφῶν· ὥς τε γίνεσθαι πολὺ τὸ τῆς ἡμέρας διάστημα. Στυμφαλίδες.) Ἠπειρωτικαί. στύμφαι γὰρ χωρίον τῆς ἠπείρου. λέγεται δὲ καλὰς βοῦς ἔχειν τὴν ἤπειρον. Κόπτον.) Τὴν ἔπαυλιν. Κεραελκέας.) Διὰ τὸ τοῖς κέρασιν ἕλκειν τὸ ἄροτρον. Πέργη.) Μητρόπολις παμφυλίας. Τηΰγετον.) Ὄρος λακεδαίμονος. Εὐρίποιο.) Εὔριπος ὁ μεταξὺ εὐβοίας καὶ βοιωτίας ῥοῦς. καλεῖται δ' οὕτως ἡ εὔβοια, διὰ τὸ ἐπιμήκη αὐτὴν κεῖσθαι. λέγεται δὲ καὶ μάκρις. Γορτυνίδα.) Κρητικήν. ἀπὸ τόπου. Ἐλλοφόνον.) Νεβροκτόνον. Βριτόμαρτιν.) Βριτόμαρτις ὄνομα κύριον τῆς νύμφης. ἀφ' ἧς καὶ ἡ ἄρτεμις ἐν κρήτῃ βριτόμαρτις τιμᾶται, ὡς διογενιανός. Παίπαλά τε.) Τόπους τραχεῖς. Οὖπι ἄνασσ' εὐῶπι.) Οὖπις ἐπίθετον ἀρτέμιδος. ἢ παρὰ τὸ ὀπίζεσθαι τὰς τικτούσας, ἢ παρὰ τὴν θρέψασαν αὐτὴν οὖπιν. ἢ διὰ τὰς ὑπερβορέους κόρας. οὖπιν. ἑκαέργην. λοξώ. ἃς ἐτίμησεν ἀπόλλων καὶ ἄρτεμις. καὶ ἀπὸ μιᾶς μὲν οὖπις ἡ ἄρτεμις. λοξίας δὲ καὶ ἑκάεργος ἐκ τῶν λοιπῶν, ὁ ἀπόλλων. Ὑψηΐς.) Ἡ κυρήνη. Ἰώλκιον.) Τὸν τύμβον τοῦ πελίου. ἰώλκιος γὰρ ὁ πελίας. Καὶ κεφάλου ξανθήν.) Ἤγουν τὴν πρόκνην, καὶ καλὴν ἀντίκλειαν. ἢ τὴν μητέρα ὀδυσσέως. ἢ ἄλλην τινά. Ποδηνέμων.) Τὴν τοῖς ποσὶν ὀρούσαν, καὶ ὁρμῶσαν. Οὐδ' ἐμὲν ὑλαῖόν τε.) Ὑλαῖος καὶ ῥοῖκος κένταυροι περὶ ἀρκαδίαν. οὓς:

αν. οὓς ἀνεῖλεν ἀταλάντῃ βιασαμένους αὐτήν. Ταῶν μαιναλίῃ νάε φόνῳ.) Τῶν λαγόνων τῶν κενταύρων. Νάεν.) Ἐστάξεν. ἔβρεξεν. ὅθεν καὶ νᾶμα, καὶ νασμός. Χησιάς.) Χήσιον ἀκρωτήριον τῆς σάμου. ἔστι ἴμβρασος ποταμὸς τῆς σάμου. Ῥαμνουσίδι.) Ῥαμνοῦς δῆμος ἀττικῆς. ἔνθα τῇ νεμέσει ὁ ζεὺς συνεκαθεύδησεν. ἡ τις ἔτεκεν ὠόν. ὅπερ εὑροῦσα ἡ λήδα, ἐθέρμανε. καὶ ἐξέβαλε τοὺς διοσκούρους, καὶ τὴν ἑλένην. Ἀξεινία.) Ὄρος ἀρκαδίας. Τὸν δ' ἐνὶ λούσοισι.) Ἡ εὐθεῖα τὰ λοῦσα. ὡς ἡρωδιανός. Εἵλεο παίδων.) Μανεῖσαι γὰρ αἱ τρεῖς αὐτοῦ θυγατέρες, πάλιν διὰ τῆς ἀρτέμιδος ἡμερώθησαν. ὁ δὲ, κτίζει ἱερὰ δύο. ἓν μὲν κορείης. ἓν δὲ ἡμερείης. διότι τὰς κόρας ἡμέρωσεν. Ἱππώ.) Μία τῶν ἀμαζόνων. Ἔργον ἀθηναίης.) Ἀθηνᾶ γὰρ ἔφορος πάσης τέχνης.
Σάρδιας.) Πόλις λυδίας. Βερεκύνθιον.) Μεταξὺ λυδίας καὶ φρυγίας. Ῥεῖα κεν πυθῶνα.) Ὅμηρος. οὐδ' ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει. Καὶ ἠλαίνων.) Μωραίνων. Βοὸς πόρον ἰναχιώνης. τῆς ἰοῦς, τῆς εἰς βοῦν μεταμορφωθείσης. Βόσποροι δὲ εἰσὶ δύο. ὅ, τε τοῦ βυζαντίου, καὶ ὁ κιμμερίος. Μουνυχίη.) Μουνύχιον γὰρ ἐστὶ μέρος τοῦ πειραιῶς, τοῦ λιμένος τῶν ἀθηνῶν.

ΕΙΣ ΤΗΝ ΔΗΛΟΝ.



ΤΗΝ ἱερὴν ὦ θυμὲ, τίνα χρόνον, ἢ πότ' ἀείσεις
δῆλον. ἀπόλλωνος κουροτρόφον. ἦ μὲν ἅπασαι
κυκλάδες, αἳ νήσων ἱερώταται εἰν ἁλὶ κεῖνται,
εὔυμνοι. δῆλος δ' ἐθέλει τὰ πρῶτα φέρεσθαι,
ἐκ μουσέων. ὅτι φοῖβον ἀοιδάων μεδέοντα
λοῦσέ τε καὶ σπείρωσε, καὶ ὡς θεὸν ἤνεσε πρώτη.

ὡς μοῦσαι τὸν ἀοιδὸν, ὃ μὴ πίμπλειαν ἀείσει,
ἔχθουσιν, τὼς φοῖβος ὅ τις δήλοιο λάθηται.
δήλω νῦν οἴμης ἀποδάσομαι, ὡς ἂν ἀπόλλων
κύνθιος αἰνήσῃ με φίλης ἀλέγοντα τιθήνης.
κείνη δ᾽ ἠνεμόεσα καὶ ἄτροπος οἷα θ᾽ ἁλιπλὴξ,
αἰθυίης καὶ μᾶλλον ἐπίδρομος ἠέπερ ἵπποις,
πόντω ἐνεστήρικται. ὁ δ᾽ ἀμφί ἑ πουλὺς ἑλίσων,
ἰκαρίου πολλὴν ἀπομάσεται ὕδατος ἄχνην.
τῷ σφε καὶ ἰχθυβολῆες ἁλίπλοοι ἐννάσαντο.
ἀλλά οἱ οὐ νεμεσητὸν ἐνὶ πρώτῃσι λέγεσθαι
ὁππότ᾽ ἐς ὠκεανόν τε καὶ ἐς τιτηνίδα τηθὺν
νῆσοι ἀολλίζονται. ἀεὶ δ᾽ ἔξαρχος ὁδεύει.
ἡ δ᾽ ὄπιθεν φοίνισσα μετ᾽ ἴχνια κύρνος ὀπηδεῖ.
οὐκ ὀνοτή. καὶ μάκρεις ἀβαντιὰς ἐλλοπιήων,
σαρδὼ θ᾽ ἱμερόεσα, καὶ ἣν ἐπενήξατο κύπρις
ἐξ ὕδατος τὰ πρῶτα. σαοῖ δέ μιν ἀντ᾽ ἐπιβάθρων.
κεῖναι μὲν πύργοισι περισκεπέεσιν ἐρυμναὶ,
δῆλος δ᾽ ἀπόλλωνι. τί δὲ στιβαρώτερον ἕρκος;
τείχεα μὲν καὶ λᾶες ὑπαὶ ῥιπῆς κε πέσοιεν
στρυμονίου βορέαο. θεὸς δ᾽ ἀεὶ ἀστυφέλικτος.
δήλε φίλη, τοῖος σε βοηθόος ἀμφιβέβηκεν.
εἰ δὲ λίην πολέες σε περιτροχόωσιν ἀοιδαὶ,
ποίῃ ἐνιπλέξω σε, τί τοι θυμῆρες ἀκοῦσαι.
χ᾽ ὡς τὰ πρώτιστα μέγας θεὸς οὔρεα θείνων
ἄορι τριγλώχινι, τό οἱ τελχῖνες ἔτευξαν,
νήσους εἰναλίας εἰργάζετο. νέρθε δὲ πάσας

ἐκ νεάτων

ἐκ νεάτων ὤχλισσε καὶ εἰσεκύλισσε θαλάσσῃ.
καὶ τὰς μὲν κατὰ βυθὸν ἵν' ἠπείροιο λάθωνται
πρυμνόθεν ἐρρίζωσε. σὲ δ' οὐκ ἔθλιψεν ἀνάγκη.
ἀλλ' ἄφετος πελάγεσσιν ἐπέπλεες. οὔνομα δ' ἦν τοι
ἀστερίη τὸ παλαιόν. ἐπεὶ βαθὺν ἥλαο τάφρον
οὐρανόθεν φεύγουσα διὸς γάμον ἀστέρι ἴση.
τόφρα μὲν οὔπω σοι χρυσέη ἐπεμίσγετο λητώ,
τόφρα δ' ἔτ' ἀστερίη, σὺ καὶ οὐδέπω ἔκλεο δῆλος.
πολλάκις ἐκ τροιζῆνος ἀπὸ ξάνθοιο πολίχνης
ἐρχόμενοι ἐφύρηνδε σαρωνικοῦ ἔνδοθι κόλπου
ναῦται ἐπεσκέψαντο. καὶ ἐξ ἐφύρης ἀνιόντες,
οἱ μὲν ἔτ' οὐκ ἴδον αὖθι. σὺ δὲ στεινοῖο παρ' ὀξὺν
ἔδραμες εὐρίποιο πόρον καναχηδὰ ῥέοντος.
χαλκιδικῆς δ' αὐτῆμαρ ἀνηναμένη ἁλὸς ὕδωρ,
μέσφ' ἐς ἀθηναίων προσενήξαο σουνίον ἄκρον.
ἢ χίον. ἢ νήσοιο διάβροχον ὕδατι μαστὸν
παρθενίης. οὔπω γὰρ ἔην σάμος. ἧχί σε νύμφαι
γείτονες ἀγκαίου μυκαλησσίδες ἐξείνισσαν.
ἡνίκα δ' ἀπόλλωνι γενέθλιον οὖδας ἐπέσχες
τοῦτό τοι ἀντημοιβὸν ἁλίπλοοι οὔνομ' ἔθεντο.
οὕνεκεν οὐκέτ' ἄδηλος ἐπέπλεες. ἀλλ' ἐνὶ πόντου
κύμασιν αἰγαίοιο ποδῶν ἐνεθήκαο ῥίζας.
οὐδ' ἥρην κοτέουσαν ὑπέτρεσας. ἡ μὲν ἁπάσαις
δεινὸν ἐπεβρωμᾶτο λεχωΐσιν. αἳ διὶ παῖδας
ἐξέφερον. λητοῖ δὲ διακριδόν, οὕνεκα μούνη
ζηνὶ τεκεῖν ἤμελλε φιλαίτερον ἄρεος υἷα.

τῷ ῥα

τῷ ῥα καὶ αὐτὴ μὲν σκοπιὴν ἔχεν αἰθέρος εἴσω
σπερχομένη μέγα δή τι καὶ οὐ φατόν. εἶργε δὲ λητὼ
τειρομένην ὠδῖσι. δύο δέ οἱ εἵατο φρουροὶ
γαῖαν ἐποπτεύοντες. ὁ μὲν πέδον ἠπείροιο
ἥμενος ὑψηλῆς κορυφῆς ἔπι θρήϊκος αἵμου,
θοῦρος ἄρης ἐφύλασσε σὺν ἔντεσι. τὼ δέ οἱ ἵππω
ἑπτάμυχον βορέαο παρὰ σπέος ηὐλίζοντο.
ἡ δ' ἔπι νησάων ἑτέρη σκοπὸς εὐρειάων
ἧστο κόρη θαύμαντος ἐπαΐξασα μίμαντι.
ἔνθ' οἱ μὲν πολίεσσιν ὅσαις ἐπεβάλλετο λητὼ,
μίμνον ἀπειλητῆρες, ἀπετρώπων δὲ δέχεσθαι.
φεῦγε μὲν ἀρκαδίη, φεῦγε δ' ὄρος ἱερὸν αὔγης,
παρθένιον. φεῦγε δ' ὁ γέρων μετόπισθε φεναιός.
φεῦγε δ' ὅλη πελοπηῒς ὅση παρακέκλιται ἰσθμῷ.
ἔμπλην αἰγιαλοῦ τε καὶ ἄργεος. οὐ γὰρ ἐκείνας
ἀτραπιτοὺς ἐπάτησεν. ἐπεὶ λάχεν ἴναχον ἥρη.
φεῦγε καὶ ἀονίη τὸν ἕνα δρόμον. αἱ δ' ἐφέποντο
δίρκη τε στροφίη τε, μελαμψήφιδος ἔχουσαι
ἰσμηνοῦ χέρα πατρός. ὁ δ' εἵπετο πολλὸν ὄπισθεν
ἀσωπὸς βαρύγουνος. ἐπεὶ πεπάλακτο κεραυνῷ.
ἡ δ' ὑποδινηθεῖσα χοροῦ ἀπεπαύσατο νύμφη,
αὐτόχθων μελίη, καὶ ὑπόχλοον ἔσχε παρειήν.
ἥλικος ἀσθμαίνουσα περὶ δρυὸς ὡς ἴδε χαίτην
σειομένην ἑλικῶνος. ἐμαὶ θεαὶ εἴπατε μοῦσαι
ἦ ῥ' ἐτεὸν ἐγένοντο τότε δρύες ἡνίκα νύμφαι.
νύμφαι μὲν χαίρουσιν ὅτε δρύας ὄμβρος ἀέξει.

νύμφαι

νύμφαι δ' αὖ κλαίουσιν, ὅτε δρυσὶν οὐκ ἔτι φύλλα.
ταῖς μὲν ἔτ' ἀπόλλων ὑποκόλπιος αἰνὰ χολώθη.
φθέγξατο δ' οὐκ ἀτέλεστον ἀπειλήσας ἐπὶ θήβῃ.
θήβη. τίπτε τάλαινα τὸν αὐτίκα πότμον ἐλέγχεις,
μήπω μή μ' ἀέκοντα βιάζεο μαντεύεσθαι.
οὔπω μοι πυθῶνι μέλει τριποδήιος ἕδρη.
οὐδέ τι πω τέθνηκεν ὄφις μέγας. ἀλλ' ἔτι κεῖνο
θηρίον αἰνογένειον ἀπὸ πλειστοῖο κατέρπον,
παρνησὸν νιφόεντα περιστέφει ἐννέα κύκλοις.
ἀλλ' ἔμπης ἐρέω τι τομώτερον ἢ ἀπὸ δάφνης.
φεῦγε πρόσω. ταχινός σε κιχήσομαι αἵματι λούσων
τόξον ἐμόν. σὺ δὲ τέκνα κακογλώσσοιο γυναικὸς
ἔλλαχες. οὐ σύ γ' ἐμεῖο φίλη τροφός. οὐδὲ κιθαιρὼν
ἔσσεται. εὐαγέων δὲ καὶ εὐαγέεσσι μελοίμην.
ὣς ἄρ' ἔφη. λητὼ δὲ μετάτροπος αὖθις ἐχώρει.
ἀλλ' ὅτ' ἀχαιϊάδες μιν ἀπηνήναντο πόληες
ἐρχομένην, ἑλίκη τε ποσειδάωνος ἑταίρη,
βοῦρά τε δεξαμενοῖο βοόστασις οἰκιάδαο,
ἂψ δ' ἐπὶ θεσσαλίην πόδας ἔτρεπε. φεῦγε δ' ἄναυρος
καὶ μεγάλη λάρισα, καὶ αἱ χειρωνίδες ἄκραι.
φεῦγε δὲ καὶ πηνειὸς ἑλισσόμενος διὰ τεμπέων.
ἥρη. σοὶ δ' ἔτι τῆμος ἀνηλεὲς ἦτορ ἔκειτο.
οὐδὲ κατεκλάσθης τε καὶ ᾤκτισας. ἡνίκα πήχεις
ἀμφοτέρους ὀρέγουσα, μάτην ἐφθέγξατο τοῖα.
νύμφαι θεσσαλίδες ποταμοῦ γένος. εἴπατε πατρὶ
κοιμῆσαι μέγα χεῦμα. περιπλέξασθε γενείῳ

λισσόμεναι τὰ ζηνὸς ἐν ὕδατι τέκνα τεκέσθαι.
πηνειὲ φθιῶτα. τί νῦν ἀνέμοισιν ἐρίζεις.
ὦ πάτερ. οὐ μὴν ἵππον ἀέθλιον ἀμφιβέβηκας.
ἦ ῥά τοι ὧδ' αἰεὶ ταχινοὶ πόδες. ἢ ἐπ' ἐμεῖο
μοῦνοι ἐλαφρίζουσι. πεποίησαι δὲ πέτεσθαι
σήμερον ἐξαπίνης. ὁ δ' ἀνήκοος. ὦ ἐμὸν ἄχθος.
ποῖ σε φέρω. μέλεοι γὰρ ἀπειρήκασι τένοντες.
πήλιον ὦ φιλύρης νυμφήϊον. ἀλλὰ σὺ μεῖνον·
μεῖνον. ἐπεὶ καὶ θῆρες ἐν οὔρεσι πολλάκι σεῖο
ὠμοτόκους ὠδῖνας ἀπηρείσαντο λέαιναι.
τὴν δ' ἄρα καὶ πηνειὸς ἀμείβετο δάκρυα λείβων.
λητοῖ. ἀναγκαίη μεγάλη θεός. οὐ γὰρ ἔγωγε
πότνια σὰς ὠδῖνας ἀναίνομαι. οἶδα καὶ ἄλλας
λουσαμένας ἀπ' ἐμεῖο λεχωΐδας. ἀλλά μοι ἥρη
δαψιλὲς ἠπείλησεν. ἀπαύγασαι οἷος ἔφεδρος
οὔρεος ἐξ ὑπάτοιο σκοπιὴν ἔχει. ὅς κε με ῥεῖα
βυσσόθεν ἐξερύσειε. τί μήσομαι ἢ ἀπολέσθαι
ἡδύ τι τοι πηνειόν. ἴτω πεπρωμένον ἦμαρ.
τλήσομαι εἵνεκα σεῖο, καὶ εἰ μέλλοιμι ῥοάων
διψαλέην ἄμπωτιν ἔχων αἰώνιον ἔρρειν.
καὶ μόνος ἐν ποταμοῖσιν ἀτιμότατος καλέεσθαι.
ἠνὶ δ' ἐγώ. τί περισσά. κάλει μόνον εἰλήθυιαν.
εἶπε. καὶ ἠρώησε μέγαν ῥόον. ἀλλά οἱ ἄρης
παγγαίου προθέλυμνα καρήατα μέλλεν ἀείρας
ἐμβαλέειν δίνῃσιν ἀποκρύψαι δὲ ῥέεθρα.
ὑψόθε δ' ἐσμαράγησε. καὶ ἀσπίδα τύψεν ἀκωκῇ

δούρα

θύρατο. ἡ δ' ἐλέλιξεν ἐνόπλιον. ἔτρεμε δ' ὄσσης
ὄρεα καὶ πεδίον κρανώνιον. αἵ τε δυσαεῖς
ἐσχατιαὶ πίνδοιο. φόβῳ δ' ὠρχήσατο πᾶσα
θεσσαλίη. τοῖος γὰρ ἀπ' ἀσπίδος ἔβραχεν ἦχος.
ὡς δ' ὁπότ' αἰτναίου ὄρεος πυρὶ τυφομένοιο
σείονται μυχὰ πάντα, κατουδαίοιο γίγαντος
εἰς ἑτέρην βριαρῆος ἐπωμίδα κινυμένοιο.
θερμαύστραι τε βρέμουσιν ὑφ' ἡφαίστοιο πυράγρης
ἔργα θ' ὁμοῦ. δεινὸν δὲ πυρίκμητοί τε λέβητες
καὶ τρίποδες πίπτοντες ἐπ' ἀλλήλοις ἰαχεῦσι,
τῆμος ἔγεντ' ἄραβος σάκεος τόσος εὐκύκλοιο.
πηνειὸς δ' οὐκ αὖτις ἐχάζετο. μίμνε δ' ὁμοίως
καρτερὸς ὡς τὰ πρῶτα. θοὰς δ' ἐστήσατο δίνας
εἰσόκε οἱ κοιηνὶς ἐκέκλετο. σώζεο χαίρων.
σώζεο. μὴ σύγ' ἐμεῖο πάθῃς κακὸν εἵνεκα τῆσδε
ἀντ' ἐλεημοσύνης. χάριτος δέ τοι ἔσσετ' ἀμοιβή.
ἦ. καὶ πολλὰ πάροιθεν ἐπεὶ κάμεν ἔστιχε νήσους
εἰναλίας. αἱ δ' οὔ μιν ἐπερχομένην ἐδέχοντο.
οὐ λιπαρὸν νήεσσιν ἐχινάδες ὅρμον ἔχουσαι.
οὐδ' ἥ τις κέρκυρα φιλοξεινωτάτη ἄλλων.
ἶρις ἐπεὶ πάσῃσιν ἐφ' ὑψηλοῖο μίμαντος
σπερχομένη μάλα πολλὸν ἀπέτρεπεν. αἱ δ' ὑφ' ὁμοκλῆς
πασσυδίῃ φοβέοντο κατὰ ῥόον ἥν τινα τέτμοι.
ὠγυγίην δ' ἤπειτα κόων μεροπηΐδα νῆσον
ἵκετο χαλκιόπης ἱερὸν μυχὸν ἡρωΐνης.
ἀλλά ἑ παιδὸς ἔρυκεν ἔπος τόδε. μὴ σύ γε μῆτερ

τῆ με τέκοις. οὔτ' οὖν ἐπιμέμφομαι οὐ δὲ μεγαίρω
νῆσον. ἐπεὶ λιπαρή τε καὶ εὔβοτος εἴ νύ τις ἄλλη.
ἀλλά οἱ ἐκ μοιρέων τις ὀφειλόμενος θεὸς ἄλλος
ἐστὶ σαωτήρων ὕπατον γένος. ᾧ ὕπο μίτρην
ἵξεται οὐκ ἀέκουσα μακηδόνι κοιρανέεσθαι,
ἀμφοτέρη μεσόγεια. καὶ αἳ πελάγεσσι κάθηνται.
μέχρις ὅπου περάτη τε καὶ ὁππόθεν ὠκέες ἵπποι
ἠέλιον φορέουσιν. ὁ δ' εἴσεται ἤθεα πατρός.
καὶ νύ ποτε ξυνός τις ἐλεύσεται ἄμμιν ἄεθλος.
ὕστερον ὁππότ' ἂν οἱ μὲν ἐφ' ἑλλήνεσσι μάχαιραν
βαρβαρικὴν, καὶ κελτὸν ἀναστήσαντες ἄρηα.
ὀψίγονοι τιτῆνες ἀφ' ἑσπέρου ἐσχατόωντος
ῥώσονται νιφάδεσσιν ἐοικότες. ἢ ἰσάριθμοι
τείρεσιν. ἡνίκα πλεῖστα κατ' ἠέρα βουκολέονται.
φρούρια καὶ
καὶ πεδία κρισσαῖα. καὶ ἤπειροι
ἀμφιπεριστείνονται. ἴδωσι δὲ πίονα καρπὸν
γείτονος αἰθομένοιο. καὶ οὐκέτι μοῦνον ἀκουῇ.
ἀλλ' ἤδη παρὰ νηὸν ἀπαυγάζοιντο φάλαγγας
δυσμενέων. ἤδη δὲ παρὰ τριπόδεσσιν ἐμεῖο
φάσγανα καὶ ζωστῆρας ἀναιδέας, ἐχθομένας τε
ἀσπίδας. αἳ γαλάτῃσι κακὴν ὁδὸν ἄφρονι φύλῳ
στήσονται. τέων αἱ μὲν ἐμοὶ γέρας. αἱ δ' ἐπὶ νείλῳ
ἐν πυρὶ τοὺς φορέοντας ἀποπνεύσαντας ἰδοῦσαι
κείσονται βασιλῆος ἀέθλια πολλὰ καμόντος
ἐσσόμεναι πτολεμαῖε. τά τοι μαντήια φαίνω.

αἰνεῖ

ἀνείσεις μέγα δή τι τὸμ εἰσέτι γαστέρι μαίτιν
ὕστερομ ἤματα πάντα. σὺ δὲ ξυμβάλλεο μῆτερ.
ἔστι διειδομένη τὶς ἐν ὕδατι νῆσος ἀραιή,
πλαζομένη πελάγεσσι. πόδες δέ οἱ οὐκ ἐνὶ χώρῳ.
ἀλλὰ παλιῤῥοίῃ ἐπινήχεται ἀνθέρικος ὥς.
ἔνθα νότος ἔνθ' εὖρος ὅπῃ φορέῃσι θάλασσα.
τῇ με φέροις. κείνην γὰρ ἐλεύσεαι εἰσεθέλουσαν.
αἳ μὲν τόσσα λέγοντος ἀπέτρεχον εἰν ἁλὶ νῆσοι.
ἀστερίη φιλόμολπε. σὺ δ' εὐβοίηθε κατῄεις
κυκλάδας ὀψομένη περιηγέας, οὔτι παλαιόμ.
ἀλλ' ἔτι τοι μετόπισθε γεραίστιομ εἵπετο φῦκος

φλέξας. ἐπεὶ περικαίεο πυρὶ
τλήμον' ὑπ' ὠδίνεσσι βαρυνομένην ὁρόωσα.
ἥρη τοῦτό με ῥέξομ ὅ, τι φίλομ. οὐ γὰρ ἀπειλὰς
ὑμετέρας ἐφύλαξα. πέρα πέρα εἰς ἐμὲ λητοῖ.
ἔννεπες. ἡ δ' ἀῤῥητομ ἄλης ἀπεπαύσατο λυγρῆς
ἕζετο δ' ἰνωποῖο παρὰ ῥόομ. ὅν τε βάθιστομ
γαῖα τότ' ἐξανίησιν ὅτε πλήθοντι ῥεέθρῳ
νεῖλος ἀπὸ κρημνοῖο κατέρχεται αἰθιοπῆος.
λύσατο δὲ ζώνην. ἀπὸ δ' ἐκλίνθη ἔμπαλιν ὤμοις
φοίνικος ποτὶ πρέμνον, ἀμηχανίης ὑπὸ λυγρῆς
τειρομένη. νότιος δὲ διὰ χροὸς ἔῤῥεεν ἱδρώς.
εἶπε δ' ἀλυσθαίνουσα. τί μητέρα κοῦρε βαρύνεις.
αὕτη τοι φίλε νῆσος ἐπιπλώουσα θαλάσσῃ.
γείνεο γείνεο κοῦρε καὶ ἤπιος ἔξιθι κόλπου.

νύμφα διὸς βαρύθυμε. σὺ δ' οὐκ ἄρ' ἔμελλες ἄπυστος
δὴν ἔμμεναι. ἶρίς τοι προσέδραμεν ἀγγελιῶτις.
εἶπε δ' ἔτ' ἀσθμαίνουσα. φόβῳ δ' ἀνεμίσγετο μῦθος.
ἥρη τιμήεσσα, πολὺ προὔχουσα θεάων.
σὴ μὲν ἐγώ. σὰ δὲ πάντα, σὺ δὲ κρείουσα κάθησαι,
γνησίη οὐλύμποιο. καὶ οὐ χέρα δείδιμεν ἄλλην
θηλυτέρην. σὺ δ' ἄνασσα τὸν αἴτιον εἴσεαι ὀργῆς.
λητώ τοι μίτρην ἀναλύεται ἔνδοθι νήσου.
ἄλλαι μὲν πᾶσαί μιν ἀπέστυγον. οὐδ' ἐδέχοντο.
ἀστερίη δ' ὀνομαστὶ παρερχομένην ἐκάλεσσεν.
ἀστερίη πόντοιο κακὸν σάρον. οἶσθα καὶ αὐτή.
ἀλλὰ φίλη δύνασαι γὰρ ἀμύνειν πότνια δούλοις
ὑμετέροις. οἳ σεῖο πέδον πατέουσιν ἐφετμῇ.
ἦ, καὶ ὑπὸ χρύσειον ἐδέθλιον ἷζε κύων ὣς
ἀρτέμιδος. ἥ τις τε θοῆς ὅτε παύσεται ἄγρης
ἵζει θηρήτειρα παρ' ἴχνεσιν. οὔατα δ' αὐτῆς
ὀρθὰ μάλ' αἰὲν ἑτοῖμα θεῆς ὑποδέχθαι ὁμοκλήν.
τῇ ἰκέλη θαύμαντος ὑπὸ θρόνον ἵζετο κούρη.
κείνη δ' οὐδέποτε σφετέρης ἐπιλήθεται ἕδρης.
οὐδ' ὅτε οἱ ληθαῖον ἐπὶ πτερὸν ὕπνος ἐρείσει.
ἀλλ' αὐτοῦ μεγάλοιο ποτὶ γλωχῖνα θρόνοιο
τυτθὸν ἀποκλίνασα καρήατα, λέχριος εὕδει.
οὐδέποτε ζώνην ἀναλύεται. οὐδὲ ταχείας
ἐνδρομίδας. μή οἵ τι καὶ αἰφνίδιον ἔπος εἴπῃ
δεσπότις. ἣ δ' ἀλεγεινὸν ἀλαστήσασα προσηύδα.
οὕτω νῦν ὦ ζηνὸς ὀνείδεα, καὶ γαμέοισθε

λάθρια, καὶ τίκτοιτε κεκρυμμένα. μὴ δ' ὅθι δειλαὶ
δυστοκέες μογέουσιν ἀλετρίδες. ἀλλ' ὅθι φῶκαι
εἰνάλιαι τίκτουσιν ἐνὶ σπιλάδεσσιν ἐρήμοις.
ἀστερίῃ δ' οὐδέν τι βαρύνομαι εἵνεκα τῆσδε
ἀμπλακίης. οὐδ' ἔστιν ὅπως ἀποθύμια ῥέξω
τόσσα δέοι, μάλα γάρ τε κακῶς ἐχαρίσσατο λητοῖ.
ἀλλά μιν ἔκπαγλόν τι σεβίζομαι. οὕνεκ' ἐμεῖο
δέμνιον οὐκ ἐπάτησε, διὸς δ' ἀνθείλετο πόντον.
ἡ μὲν ἔφη. κύκνοι δὲ θεοῦ μέλποντες ἀοιδοὶ
μηόνιον πακτωλὸν ἐκυκλώσαντο λιπόντες
ἑβδομάκις περὶ δῆλον. ἐπήεισαν δὲ λοχείῃ
μουσάων ὄρνιθες ἀοιδότατοι πετεηνῶν.
ἔνθεν ὁ παῖς τοσσάσδε λύρῃ ἐνεδήσατο χορδὰς
ὕστερον ὁσσάκι κύκνοι ἐπ' ὠδίνεσσιν ἄεισαν.
ὄγδοον οὐκέτ' ἤεισαν. ὁ δ' ἔκθορεν. αἱ δ' ἐπὶ μακρὸν
νύμφαι δηλιάδες ποταμοῦ γένος ἀρχαίοιο
εἶπαν ἐληθυίης ἱερὸν μέλος. αὐτίκα δ' αἰθὴρ
χάλκεος ἀντήχησε διαπρυσίην ὀλολυγήν.
οὐδ' ἥρη νεμέσησεν, ἐπεὶ χόλον ἐξέλετο ζεύς.
χρύσεα τοι τότε πάντα θεμείλια γείνετο δῆλε.
χρυσῷ δὲ τροχόεσσα πανήμερος ἔρρεε λίμνη.
χρύσειον δ' ἐκόμησε γενέθλιον ἔρνος ἐλαίης.
χρυσῷ δὲ πλήμυρε βαθὺς ἰνωπὸς ἑλιχθείς.
αὐτὴ δὲ χρυσέοιο ἀπ' οὔδεος εἵλεο παῖδα.
ἐν δ' ἐβάλευ κόλποισιν. ἔπος δ' ἐφθέγξαο τοῖον.
ὦ μεγάλ', ὦ πολύβωμε, πολύπτολι, πολλὰ φέρουσα,

πίονες

πίονες ἤπειροί τε, καὶ αἱ περιναίετε νῆσοι.
αὕτη ἐγὼ τοιήδε δυσήροτος. ἀλλ᾽ ἀπ᾽ ἐμεῖο
δήλιος ἀπόλλων κεκλήσεται. οὐδέ τις ἄλλη
γαιάων τοσσόνδε θεῷ πεφιλήσεται ἄλλῳ.
οὐ κερχνὶς κρείοντι ποσειδάωνι λεχαίῳ.
οὐ πάγος ἑρμείῃ κυλλήνιος. οὐ διὶ κρήτη,
ὡς ἐγὼ ἀπόλλωνι. καὶ ἔσσομαι οὐκ ἔτι πλαγκτή.
ὧδε σὺ μὲν κατέλεξας. ὁ δὲ γλυκὺν ἔσπασε μαζόν.
τῷ καὶ νησάων ἁγιωτάτη ἐξέτι κείνου
κλήζῃ ἀπόλλωνος κουροτρόφος, οὐδέ σ᾽ ἐνυὼ
οὐδ᾽ ἀΐδης, οὐδ᾽ ἵπποι ἐπιστείβουσιν ἄρηος.
ἀλλά τοι ἀμφιετεῖς δεκατηφόροι αἰὲν ἀπαρχαὶ
πέμπονται. πᾶσαι δὲ χοροὺς ἀνάγουσι πόληες.
αἵ τε πρὸς ἠοίην, αἵθ᾽ ἕσπερον, αἵτ᾽ ἀνὰ μέσσην
κλήρους ἐστήσαντο, καὶ οἱ καθύπερθε βορείης
οἰκία θινὸς ἔχουσι πολυχρονιώτατον αἷμα.
οἱ μέν τοι καλάμην τε, καὶ ἱερὰ δράγματα πρῶτοι
ἀσταχύων φορέουσιν. ἃ δωδώνηθε πελασγοὶ
τηλόθεν ἐκβαίνοντα πολὺ πρώτιστα δέχονται
γηλεχέες θεράποντες ἀσιγήτοιο λέβητος.
δεύτερον ἱερὸν ἄστυ, καὶ οὔρεα μηλίδος αἴης
ἔρχονται. κεῖθεν δὲ διαπλώουσιν ἀβάντων
εἰς ἀγαθὸν πεδίον ληλάντιον. οὐδέ τι μακρὸς
ὁ πλόος εὐβοίηθεν. ἐπεὶ σέο γείτονες ὅρμοι.
πρῶταί τοι τάδ᾽ ἔνεικαν ἀπὸ ξανθῶν ἀριμασπῶν
οὖπίς τε λοξώ τε καὶ εὐαίων ἑκαέργη.

θυγα

θυγατέρες βορέαο, καὶ ἄρσενες, οἵ τότ' ἄριστοι
ἠιθέων. οὐδ' οἵ γε παλιμπετὲς οἴκαδ' ἵκοντο.
εὔμοιροι δ' ἐγένοντο καὶ ἀκλέες οὔποτ' ἐκεῖνοι.
ἤτοι δηλιάδες μὲν ὅτ' εὐήχης ὑμέναιος
ἤθεα κουράων μορμύσσεται ἥλικα χαίτην
παρθενικαί. παῖδες δὲ θέρος τὸ πρῶτον ἰούλων
ἄρσενες ἠιθέοισιν ἀπαρχόμενοι φορέουσιν.
ἀστερίη θυόεσσα. σὲ μὲν περί τ' ἀμφί τε νῆσοι
κύκλον ἐποιήσαντο καὶ ὡς χορὸν ἀμφεβάλοντο,
οὔτε σιωπηλὴν οὔτ' ἄψοφον. οὖλος ἐθείρας
ἕσπερος. ἀλλ' αἰεί σε καταβλέπει ἀμφιβόητον.
οἱ μὲν ὑπαείδουσι νόμον λυκίοιο γέροντος
ὅν τοι ἀπὸ ξάνθοιο θεοπρόπος ἤγαγεν ὠλήν.
αἱ δὲ ποδὶ πλήσσουσι χορίτιδες ἀσφαλὲς οὖδας.
δὴ τότε καὶ στεφάνοισι βαρύνεται ἱρὸν ἄγαλμα
κύπριδος ἀρχαίης ἀριήκοον. ἥν ποτε θησεὺς
εἵσατο σὺν παίδεσσιν ὅτε κρήτηθεν ἀνέπλει.
οἱ χαλεπὸν μύκημα καὶ ἄγριον υἷα φυγόντες
πασιφάης, καὶ γναμπτὸν ἕδος σκολιοῦ λαβυρίνθου,
πότνια σὸν περὶ βωμὸν ἐγειρομένου κιθαρισμοῦ
κύκλιον ὠρχήσαντο. χοροῦ δ' ἡγήσατο θησεύς.
ἔνθεν ἀειζώοντα θεωρίδος ἱερὰ φοίβῳ
κεκροπίδαι πέμπουσι τοπήια νηὸς ἐκείνης.
ἀστερίη. πολύβωμε. πολύλλιτε. τίς δέ σε ναύτης
ἔμπορος αἰγαίοιο παρήλυθε νηὶ θεούσῃ.
οὐχ οὕτω μεγάλοι μιν ἐπιπνείουσιν ἀῆται.

χρειὼ δ' ὅτι τάχιστον ἄγει πλόον, ἀλλὰ τὰ λαῖφη
ὠκέες ἐστείλαντο καὶ οὐ πάλιν αὖθις ἔβησαν.
πρὶν μέγαν ἢ σέο βωμὸν ὑπὸ πληγῆσιν ἑλίξαι
ῥησσόμενον καὶ πρέμνον ὀδακτάσαι ἁγνὸν ἐλαίης
χεῖρας ἀποστρέψαντας, ἃ δηλιὰς εὕρετο νύμφη
παίγνια κουρίζοντι καὶ ἀπόλλωνι γελαστύν.
ἱστίη ὦ νήσων εὐέστιε, χαῖρε μὲν αὐτή,
χαίροι δ' ἀπόλλων τε, καὶ ἣν ἐλοχεύσατο λητώ.

ΕΙΣ ΤΟΝ ΤΗΣ ΔΗΛΟΥ.

ΠΙΜΠΛΕΙΑΝ.) Ὄρος θρᾴκης ἱερὸν μουσῶν. Κείνη δ' ἠνεμόεσσα καὶ ἄτροπος.) ὅτι ἀκίνητος καὶ ἄσειστος ἡ δῆλος. καὶ οὐδέποτε ἠνεμωμένη τινάσσεται. καὶ θουκυδίδης σεισμὸν γενόμενον μέγαν βουλόμενος ἐξηγήσασθαι φησίν, ὅτι τοσοῦτον ἦν μέγας, ὥς τε τὴν δῆλον νῆσον σεισθῆναι. ἄλλως. ἄτροπος. ἄσειστος. ἀγεώργητος. καὶ μὴ τρεπομένη καὶ μεταβαλλομένη ἐν τῷ ἀροῦσθαι. τραχεῖα γάρ. Ἀπομάσσεται.) Ἀπορρύπτει. Ἄχνη.) Ἀφρόν. Νῆσοι ἀολλίζονται.) Οὐχ ὅτι αἱ νῆσοι ἀθροίζονται. ἀλλ' οἱ ἔξαρχοι θεοί. Κύρνος ὀπηδεῖ.) Ἡ νῦν τύρος καλουμένη.

Καὶ μάκρις ἀβαντίας, ἡ τῶν εὐβοέων. Σαοῖ.) Σώζει. Ἐρυμναί.) Ἠσφαλισμέναι. Στρυμονίου Βορέαο.) Στρυμών, ποταμός ἐστι καὶ πόλις θρᾴκης. Εἰ δὲ λίην πολέες σε.) Αἱ πινδάρου καὶ βακχυλίδου. ἔδει δὲ εἰπεῖν πολλαί. Χ' ὡς τὰ πρώτιστα.) Λέγεται γὰρ ὅτι ὁ ποσειδῶν, τῇ τριαίνῃ ἀποσπῶν τῆς χέρσου τὰς νήσους ἐποίει. Ἀπὸ ξάνθοιο πολίχνης.) Ἀπὸ τινὸς ξάνθου βασιλεύσαντος τροιζῆνος. Χαλκιδικῆς δ' αὐτῆμαρ.) Χαλκίς. πόλις εὐβοίας. Σούνιον.) Ἀκρωτήριον τῆς ἀττικῆς. Ἡ νήσοιο διαβρόχου. τῆς σάμου τὸ γόννυμον. Γείτονος ἀγκαίου.) Ἀγκαῖος βασιλεὺς σάμου. Διακειδόν.) Κατ' ἐξοχήν. μεγάλως. Ἀπορχομένη.) Ὀργι-

μη.) Ὀργιζομένη. Εἵατο.) Ἐκαθέζοντο. Αἵμου.) Ὄρος θρᾴκης. Ἑπτάμυχον.) Πολύμυχον. Νησάων.) Παραλόγως ἔχει τὴν διαίρεσιν. οὐ γὰρ ἀπὸ τοῦ εἰς α ἐστίν. Ἠσο κόρη.) Ἡ ἶρις. Μίμαντι.) Ὄρος χίου. Παρθένιον.) Ὄρος ἀρκαδίας τὸ παρθένιον. ἔνθα τὴν αὔγην τὴν ἀλεοῦ θυγατέρα ἱέρειαν τῆς ἀθηνᾶς ἔφθειρεν ἡρακλῆς.

Φηναιός.) Πόλις ἀρκαδίας ἀρχαία. Ἔμπλην αἰγιαλοῦ τε καὶ ἄργεος. ὅμηρος αἰγιαλόν τ' ἀνὰ πάντα. Καὶ ἀονίη.) Ἀονίας τὰς θήβας λέγει. Δίρκη τε. στροφίη τε.) Κρῆναι ἐν θήβαις ταῖς Βοιωτίαις. Ἰσμηνοῦ.) Ἰσμηνὸς ποταμὸς θηβῶν, καὶ ἀσωπός.

Ἐπεὶ πεπάλακτο.) Ἐπεὶ τὴν θυγατέρα αὐτοῦ αἴγιναν ἁρπαγεῖσαν ὑπὸ διὸς ἀπήγγειλε σίσυφος. ὁ δὲ ἤρξατο διώκειν αὐτόν. ζεὺς δὲ ὀργισθεὶς ἐκεραύνωσεν αὐτόν. Ἡ δ' ὑποδινηθεῖσα.) Ὑπότρομος γενομένη. αὐτόχθων μελίη, τὸ ἑξῆς, οὐκ ἔστι κύριον, ἀλλ' ἁπλῶς εἴρηται περὶ πάσης μελίας. Ἑλικῶνος.) Ὄρος Βοιωτίας. Ταῖς μὲν ἔτ' ἀπόλλων.) Ταῖς μὴ δεξαμέναις δηλαδὴ τὴν λητώ. Θήβη τίπτε τάλαινα τὸν αὐτίκα, τὸ ἑξῆς. ὦ θήβη τί αὐτίκα ἐλέγχεις τὸν ἐσόμενόν σοι πότμον. Τριποδήιος.) Ὁ δελφίνης. Ἀπὸ πλειστοῖο.) Πλειστὸς ποταμὸς φωκίδος παρὰ τὸν παρνασσὸν ῥέων. ὅ ἐστιν ὄρος φωκίδος. Τομώτερον.) Σαφέστερον. Κακογλώσσοιο.) Τῆς νιόβης. ἐν θήβαις γὰρ κατῴκει. Κιθαιρών.) Ὄρος θηβῶν. Ἑλίκη.) Πόλις Βοιωτίας. Βοῦρα τε δεξαμενοῖο.) Βοῦρα, πόλις ἀχαΐας. ᾤκησε δὲ αὐτὴν δεξαμενὸς ὁ κένταυρος. ἐκεῖ δὲ αὐτοῦ τὰ βοοστάσια ἐφυλάττετο. διὸ καὶ Βοῦρα ὠνομάσθη. Καὶ αἱ χειρωνίδες ἄκραι.) Τὸ πήλιον ὄρος τῆς θεσσαλίας. διὰ τὸ τὸν χείρωνα ἐκεῖ οἰκῆσαι. Πηνειὸς ποταμὸς θεσσαλίας. Τεμπέων.) Τέμπη αἱ στενώταται διεκβολαὶ τῶν θεσσαλίας ὀρῶν. Θεσσαλίδες.) Αἱ περὶ τὸν πηνειόν. Πεποίησαι.) Προσποίει τὸ ὀξέως τρέχειν. Φιλύρης νυμφήιον.) Ἐν τῷ πηλίῳ γὰρ ὁ κρόνος τῇ φιλύρᾳ μιγεὶς γεννᾷ τὸν χείρωνα. Ἀναγκαίη.) Τὸ τοῦ ποιητοῦ. ἀναγκαίη γὰρ ἐπείγει. Ἀπαύγασαι.) Θέασαι. Οἷος ἔφεδρος.) Τὸν ἄρη λέγει. Τί περισσά.) Λείπει τὸ φθέγγομαι. Παγγαίου.) Πάγγαιον ὄρος

θρᾴκης. Οσσης.) Ορος θεσσαλίας. Πίνδειο.) Ορος περραίβιον.
Εἰς ἑτέρην Βριαρῆος.) Οἱ μὲν, Βριαρέως. οἱ δὲ τυφωέως. οἱ δὲ ἐγκελάδου. Θερμαύστραι.) Αἱ κάμινοι. Κοιηΐς.) Κοίου γὰρ καὶ φοίβης θυγάτηρ λητώ. ἴσος κοιαντίς. Κέρκυρα.) Η φαιακία.

Μεροπηΐδα.) Η ὅτι ὑπὸ μέροπος ἐβασιλεύθη, ἢ ὅτι μέροπες αὐτὴν ᾤκησαν. ἢ ὅτι μέροπος θυγάτηρ ἡ κῶς. Αλλά οἱ ἐκ μοιρέων.) Διὰ τὸ ἐκεῖσε ἀνατραφῆναι τὸν φιλάδελφον πτολεμαῖον ἐν τῇ κῷ. Υπό μίτρην.) Υπὸ τὴν βασιλείαν. ὑπὸ τὴν ἀρχήν.

Μακηδόνι, περὶ φιλαδέλφῳ πτολεμαίῳ. Τιτῆνες ἀφ' ἑσπέρου τῆς δύσεως. Τιτῆνες δὲ διὰ τὸ ἐπιχείρημα. Ρώσονται νιφάδεσσιν.) Βρέννος ὁ τῶν γαλλῶν βασιλεὺς, συναγαγὼν τοὺς κελτοὺς, ἦλθεν ἐπὶ πυθῶνα, βουλόμενος τοῦ θεοῦ τὰ χρήματα διαρπάσαι. πλησίον δὲ γενομένων, ὁ ἀπόλλων χαλάζῃ χρησάμενος, ἀπώλεσε τοὺς πλείους αὐτῶν. ὀλίγων οὖν περιλειφθέντων, ἀντίγονός τις φίλος τοῦ φιλαδέλφου πτολεμαίου, προξενεῖ αὐτοὺς αὐτῷ, ὥς τε ἐπὶ μισθῷ στρατεύεσθαι. καὶ γὰρ ἔχρηζεν ὁ πτολεμαῖος τοῦ στρατεύματος. οἱ δὲ, ὁμοίως ἠβουλήθησαν καὶ τοῦ πτολεμαίου διαρπάσαι τὰ χρήματα. γνοὺς οὖν συλλαμβάνει αὐτοὺς, καὶ ἀπάγει πρὸς τὸ στόμιον τοῦ νείλου τὸ λεγόμενον σεβεννυτικὸν, καὶ κατέκλυσεν αὐτοὺς ἐκεῖσε. ταῦτα οὖν φησὶ ξυνὸν ἀγῶνα ἔσεσθαι. Τέων.) Ων τινων ἀσπίδων, αἳ μὲν, ἐμοὶ ἔσονται γέρας. αἳ δὲ, περὶ πτολεμαίῳ δοθήσονται. Διειδομένη.) Φαινομένη. Αραιή.) Λεπτή. Ανθέρικος ὥς.) Ανθέρικός ἐστιν ὁ τοῦ ἀσφοδέλου καρπός. Γεραίστιον.) Γεραιστὸς ἀκρωτήριον εὐβοίας. Εφύλαξα.) Αντὶ τοῦ φυλάξω. Φοίνικος ποτὶ πρέμνον.) Καὶ παρ' ὁμήρῳ. Δήλῳ δή ποτε τοῖον ἀπόλλωνος παρὰ βωμῷ φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα.

Αλυσθμαίνουσα.) Πνευστιῶσα, ἀσθμαίνουσα. Νύμφα διός.) Πρὸς τὴν ἥραν ὁ λόγος. Σάρον.) Τὸ κάλλυντρον. Οὐδ' ὅτε οἱ ληθαῖον.) Τὸ λήθην τῶν κακῶν ἐμποιοῦν. Ποτὶ γλωχῖνα.) Πρὸς τὴν γωνίαν τοῦ θρόνου. Λέχριος.) Πλάγιος. Ενδρομίδας.) Κυρίως τῶν κυνηγῶν τὰ ὑποδήματα. Αλετρίδες.) Αἱ θεράπαιναι, αἱ ἀλή-

θουσαι

θοῦσαι. Μάλα γάρ τε κακῶς.) Καὶ γὰρ κακῶς τῇ λητοῖ ἐχαρίσατο. Μηόνιον πακτωλόν.) Ποταμὸς λυδίας· χρυσοῦ ψήγματα φέρων. Ἑβδομάκις.) Ἑπταμηνιαῖος γὰρ ἐτέχθη ὁ ἀπόλλων. Ὀλολυγήν.) Τὴν μετὰ εὐφημίας λέγει εὐχήν. Λίμνη.) Ἡ θάλασσα· διὰ τὸ περιτρέχειν κύκλῳ τὴν νῆσον· ἢ λίμνη τις ἐν δήλῳ περιφερής. Ὦ πολύβωμε.) Πρὸς τὴν γῆν λέγει πᾶσαν. Λεχαίῳ.) Λέχαιον, καὶ κερχνὶς, δυεῖν ἀκρωτήρια, ἔνθα ὁ ποσειδῶν τιμᾶται.

Αἴτ' ἀναμέασῃ.) Ἐν μεσημβρίᾳ. Καὶ οἱ καθύπερθε.) Οἱ ὑπερβόρειοι. Οἰκία θινός.) Θῖνα νῦν τὴν ὠκεανοῦ ζώνην λέγει. Καὶ μέν τοι καλάμην τε.) Λέγεται ὅτι οἱ ὑπερβόρεοι δῶρα πέμπουσι τῷ ἀπόλλωνι ἅ τινα δέχονται πρῶτοι δωδωναῖοι. Τηλέχεες.) Καὶ ὅμηρος· χαμαιεῦναι. Μηλίδος.) Μηλὶς, πόλις τραχῖνος. Ληλάντιον.) Ἐν εὐβοίᾳ πεδίον ληλάντιον. ἀπὸ λήλαντος βασιλέως.

Ἀριμασπῶν.) Ἔθνος τῶν ὑπερβορέων. Οὖπίς τε.) Αἱ τρεῖς κόραι τῶν ὑπερβορέων σκυθῶν. Εὐαίων ἐστὶν, ἡ μακαρία. Εὔμοιροι.) Εὔφημοι. Παρθενικαί.) Ἀπὸ κοινοῦ τὸ φορέουσιν. Ἀρσένες.) Οἱ καθαροί. Οὖλος ἐθείραις.) Ὁλόκληρος ταῖς θριξί, τουτέστι λαμπρὸς ταῖς ἀκτῖσιν. Ὠλήν.) Ὠλὴν γάρ τις λύκιος εὗρε τὸν ὕμνον πρῶτον. Ἀριήκοον.) Ἀριήκοον ἀφροδίτης ἱερὸν ἐν δήλῳ. ὅπερ θησεὺς ἔκτισε· διὰ τὸ εὐχερῶς τὴν ἀριάδνην ὀλισθῆσαι εἰς πόθον τοῦ θησέως, καὶ χειρώσασθαι τὸν μινώταυρον. Σὸν περὶ βωμόν.) Τοῦτο καὶ πλάτων ἔφη ἐν τῷ φαίδωνι. Θεωρίδος ἱερά.) Τὸ ἑξῆς, θεωρίδος νηός, νῦν τῆς τὰ ἱερὰ φερούσης· κυρίως δὲ θεωρός, ὁ τὰ θεοῦ ὁρῶν· ὃ ἐστὶ φυλάσσων· ἐκ δὲ τούτου ὁ ἱερεύς. Τοπήϊα.) Ὅπλα νεὼς παρὰ λάκωσι. Σχοινία.) Κάλοι. Βωμὸν ὑπὸ πληγῇσιν.) Ἐν δήλῳ περὶ τὸν βωμὸν τοῦ ἀπόλλωνος ἔθος ἦν τρέχειν, καὶ τύπτειν τὸν βωμὸν τοῦ ἀπόλλωνος μάστιγι, καὶ ἀποδάκνειν ἐξηγκωνισμένους ἐκ τῆς ἐλαίας. Ῥησσόμενον.) Πλησσόμενον. Δακτάσαι.) Δράξασθαι· δακεῖν. Ἱστίη ὦ νήσων.) Ἐστὶ μὲν κυρίως ὁ βωμὸς ὁ ἐν μέσῳ τοῦ δόμου ἑστώς. ἐπειδὴ οὖν ἡ δῆλος ἐν μέσῳ τῶν κυκλάδων ἕστηκε, δοκεῖ ὥσπερ ἑστία τις καὶ βωμὸς εἶναι. Εὐέστιε.) Εὔοικε.

ΕΙΣ ΛΟΥΤΡΑ ΤΗΣ ΠΑΛΛΑΔΟΣ.



ΣΣΑΙ λωτροχόοι τᾶς παλλάδος ἔξιτε πᾶσαι,
ἔξιτε· τᾶν ἵππων ἄρτι φρυασσομενᾶν
τᾶν ἱερᾶν ἄκουσα, καὶ ἁ θεὸς εὔτυκος ἕρπει.
σοῦσθέ νυν ὦ ξανθαὶ σοῦσθε πελασγιάδες.
οὔποτ' ἀθαναία μεγάλως ἀπενίψατο πάχεις,
πρὶν κόνιν ἱππειᾶν ἐξελάσαι λαγόνων.
οὐδ' ὅκα δὴ λύθρῳ πεπαλαγμένα πάντα φέροισα
τεύχεα τῶν ἀδίκων ἦνθ' ἀπὸ γηγενέων
ἀλλὰ πολὺ πράτιστον ὑφ' ἅρματος αὐχένας ἵππων
λυσαμένα παγαῖς ἔκλυσεν ὠκεανῶ
ἱδρῶ καὶ ῥαθάμιγγας. ἐφοίβασεν δὲ παγέντα
πάντα χαλινοφάγων ἀφρὸν ἀπὸ στομάτων.
ὦ ἴτ' ἀχαιϊάδες. καὶ μὴ μύρα μηδ' ἀλαβάστρως,
συρίγγων ἀίω φθόγγον ὑπαξονίων.
μὴ μύρα λωτροχόοι τᾷ παλλάδι μηδ' ἀλαβάστρως
οὐ γὰρ ἀθαναία χείματα μικτὰ φιλεῖ
οἴσετε μηδὲ κάτοπτρον. ἀεὶ καλὸν ὄμμα τὸ τήνας.
οὐδ' ὅκα τὰν ἴδαν φρὺξ ἐδίκαζεν ἔριν,
οὐδ' ἐς ὀρείχαλκον μεγάλα θεὸς, οὐδὲ σιμοῦντος
ἔβλεψεν δίναν ἐς διαφαινομέναν.
οὐδ' ἥρη. κύπρις δὲ διαυγέα χαλκὸν ἑλοῖσα
πολλάκι τὰν αὐτὰν δὶς μετέθηκε κόμαν.

ἁ δὲ, δὶς

ἁ δὲ, δὶς ἑξήκοντα διαθρέξασα διαύλως,
οἷα παρ' εὐρώτᾳ τοὶ λακεδαιμόνιοι
ἀστέρες, ἐμπεράμως ἐτρίψατο λιτὰ λαβοῖσα
χρίματα τᾶς ἰδίας ἔκγονα φυταλιᾶς:
ὦ κοῦραι. τὸ δ' ἔρευθος ἀνέδραμε πρώϊον, οἵαν
ἢ ῥόδον ἢ σίβδης κόκκος ἔχει χροΐαν.
τῶ καὶ νῦν ἄρσεν τι κομίσατε μοῦνον ἔλαιον.
ὧ κάστωρ ὧ καὶ χρίεται ἡρακλέης.
οἴσετε καὶ κτένα οἱ παγχρύσεον, ὡς ἀπὸ χαίταν
πέξηται, λιπαρὸν σμασαμένα πλόκαμον.
ἔξιθ' ἀθαναία. πάρα τοι καταθύμιος ἴλα.
παρθενικαὶ μεγάλων παῖδες ἀκεστοριδᾶν.
ὦ 'θάνα. φέρεται δὲ καὶ ἁ διομήδεος ἀσπίς.
ὡς ἔθος ἀργείων τοῦτο παλαιότερον
εὐμήδης ἐδίδαξε τεῒν κεχαρισμένος ἱρεύς.
ὅς ποτε βωλευτὸν γνοὺς ἐπί οἱ θάνατον
δᾶμον ἑτοιμάζοντα, φυγᾷ τεὸν ἱρὸν ἄγαλμα
ᾤχετ' ἔχων. κρεῖον δ' εἰς ὄρος ᾠκίσατο.
κρεῖον ὄρος. σὲ δὲ δαῖμον ἀπορρώγεσιν ἔθηκεν
ἐν πέτραις. αἷς νῦν οὔνομα παλλατίδες.
ἔξιθ' ἀθαναία περσέπτολι. χρυσεοπήληξ.
ἵππων καὶ σακέων ἁδομένα πατάγῳ.
σάμερον ὑδροφόροι μὴ βάπτετε. σάμερον ἄργος
πίνετ' ἀπὸ κρανᾶν, μὴ δ' ἀπὸ τῶν ποταμῶν.
σάμερον αἱ δῶλαι τὰς κάλπιδας ἢ 's φυσάδειαν
ἢ 'ς ἀμυμώνην οἴσετε τὰν δαναῶ.

καὶ γὰρ

καὶ γὰρ δὴ χρυσῷ τε καὶ ἄνθεσιν ὕδατα μίξας,
ἥξει φορβαίων ἴναχος ἐξ ὀρέων.
τἀθάνᾳ τὸ λοετρὸν ἄγων καλόν. ἀλλὰ πελασγὲ
φράζεο μὴ οὐκ ἐθέλων τὰν βασίλειαν ἴδῃς.
ὅς κεν ἴδῃ γυμνὰν τὰν παλλάδα τὰν πολιοῦχον,
τ' ὦργος ἐσοψεῖται τοῦτο πανυστάτιον.
πότνι' ἀθαναία. σὺ μὲν ἔξιθι. μέσφα δ' ἐγώ τι
ταῖς δ' ἐρέω. μῦθος δ' οὐκ ἐμὸς ἀλλ' ἑτέρων.
παῖδες ἀθαναία νύμφαν μίαν ἔν ποκα θήβαις
πουλύ τι καὶ περὶ δὴ φίλατο τᾶν ἑταρᾶν.
ματέρα τειρεσίαο. καὶ οὔποκα χωρὶς ἔγεντο.
ἀλλὰ καὶ ἀρχαίων εὖτ' ἐπὶ θεσπιέων.
ἢ 'πὶ κορωνείας ἢ εἰς ἁλίαρτον ἐλαύνοι
ἵππως, βοιωτῶν ἔργα διερχομένα.
ἢ 'πὶ κορωνείας, ἵνα οἱ τεθυωμένον ἄλσος
καὶ βωμοὶ ποταμῷ κεῖντ' ἐπὶ κουραλίῳ.
πολλάκις ἁ δαίμων μιν ἑῷ ἐπεβάσατο δίφρῳ.
οὐδ' ὄαροι νυμφᾶν οὐδὲ χοροστασίαι
ἁδεῖαι τελέθεσκον, ὅθ' οὐχ ἁγεῖτο χαρικλώ.
ἀλλ' ἔτι καὶ τήναν δάκρυα πόλλ' ἔμενε,
καί περ ἀθαναίᾳ καταθύμιον εὖσαν ἑταίραν.
δή ποτε γὰρ πέπλων λυσαμένα περόνας
ἵππω ἐπὶ κρανᾳ, ἑλικωνίδι καλὰ ῥεοίσᾳ
λῶντο. μεσαμβρινὰ δ' εἶχ' ὄρος ἁσυχία.
ἀμφότεραι λοῦντο. μεσαμβριναὶ δ' ἔσαν ὧραι,
πολλὰ δ' ἁσυχία τῆνο κατεῖχεν ὄρος.

τειρεσίας δ' ἔτι μοῦνος ἅμα κυσὶν ἄρτι γένεια
περκάζων, ἱερὸν χῶρον ἀνεστρέφετο.
διψάσας δ' ἄφατόν τι ποτὶ ῥόον ἤλυθε κράνας
σχέτλιος. οὐκ ἐθέλων δ' εἶδε τὰ μὴ θέμιδες.
τὸν δὲ χολωσαμένα περ, ὅμως προσέφασεν ἀθάνα,
τίς σε τὸν ὀφθαλμὼς οὐκ ἔτ' ἀποισόμενον
ὦ εὐηρείδα χαλεπὰν ὁδὸν ἄγαγε δαίμων.
ἁ μὲν ἔφα. παιδὸς δ' ὄμματα νὺξ ἔβαλεν.
ἑστάθη δ' ἄφθογγος. ἐκόλλασαν γὰρ ἀνῖαι
γώνατα, καὶ φωνὰν ἔσχεν ἀμηχανία.
ἁ νύμφα δ' ἐβόησε. τί μοι τὸν κῶρον ἔρεξας
πότνια. τοιαῦται δαίμονες ἐστὲ φίλαι.
ὄμματά μοι τῶ παιδὸς ἀφείλεο. τέκνον ἄλαστε
εἶδες ἀθαναίας στήθεα καὶ λαγόνας.
ἀλλ' οὐκ ἀέλιον πάλιν ὄψεαι. ὢ ἐμὲ δειλάν.
ὢ ὄρος. ὢ ἑλικὼν οὐκ ἔτι μοι παριτέ.
ἦ μεγάλ' ἀντ' ὀλίγων ἐπράξαο, δόρκας ὀλέσσας
καὶ πρόκας οὐ πολλὰς, φάεα παιδὸς ἔχεις.
ἁ μὲν ἀμφοτέραισι φίλον περὶ παῖδα λαβοῖσα,
μάτηρ μὲν γοερῶν οἶτον ἀηδονίδων,
ἆγε βαρὺ κλαίουσα. θεὰ δ' ἐλέησεν ἑταίραν.
καί μιν ἀθαναία πρὸς, τόδ' ἔλεξεν ἔπος.
δῖα γύναι. μετὰ πάντα βαλεῦ πάλιν ὅσσα δι' ὀργὰν
εἶπας. ἐγὼ δ' οὔ τοι τέκνον ἔθηκ' ἀλαόν.
οὐ γὰρ ἀθαναίᾳ γλυκερὸν πέλει ὄμματα παίδων
ἁρπάζειν. κρόνιοι δ' ὧδε λέγοντι νόμοι.

ὅς κέ τιν᾽ ἀθανάτων ὅκα μὴ θεὸς αὐτὸς ἕληται
ἀθρήσῃ μισθῷ τοῦτον ἰδεῖν μεγάλῳ.
δῖα γύναι. τὸ μὲν οὐ παλινάγρετον αὖθι γένοιτο
ἔργον. ἐπεὶ μοιρᾶν ὧδ᾽ ἐπένησε λίνα,
ἀνίκα τὸ πρῶτόν νιν ἐγείναο. νῦν δὲ κομίζευ
ὦ εὐηρείδα τέλθος ὀφειλόμενον
πόσσα μὲν ἁ καδμηὶς ἐς ὕστερον ἔμπυρα καύσει,
πόσσα δ᾽ ἀρισταῖον τὸν μόνον εὐχόμενοι,
παῖδα τὸν ἁβατὰν ἀκταίονα τυφλὸν ἰδέσθαι.
καὶ τῆνος μεγάλας σύνδρομος ἀρτέμιδος
ἔσσεται. ἀλλ᾽ οὐκ αὐτὸν ὅ,τε δρόμος αἵτ᾽ ἐν ὄρεσσι
ῥυσεῦνται ξυναὶ τᾶμος ἑκαβολίαι.
ὁππόταν οὐκ ἐθέλων περ ἴδῃ χαρίεντα λοετρὰ
δαίμονος. ἀλλ᾽ αὐταὶ τὸν πρὶν ἄνακτα κύνες
τουτάκι δειπνησεῦντι. τὰ δ᾽ υἱέος ὀστέα μάτηρ
λεξεῖται δρυμὼς πάντας ἐπερχομένα.
ὀλβίσταν ἐρέει σε καὶ εὐαίωνα γενέσθαι,
ἐξ ὀρέων ἀλαὸν παῖδ᾽ ὑποδεξαμέναν.
ὦ ἑτάρα. τῷ μή τι μινύρεο. τῷ δὲ γὰρ ἄλλα
τεῦ χάριν ἐξ ἐμέθεν πολλὰ μενεῦντι γέρα.
μάντιν ἐπεὶ θησῶ νιν ἀοίδιμον ἐσσομένοισιν.
ἦ μέγα τῶν ἄλλων δή τι περισσότερον.
γνωσεῖται δ᾽ ὄρνιθας ὃς αἴσιος. οἵ τε πέτονται
ἤλιθα. καὶ ποίων οὐκ ἀγαθαὶ πτέρυγες.
πολλὰ δὲ βοιωτοῖσι θεοπρόπα, πολλὰ δὲ κάδμῳ
χρησεῖ, καὶ μεγάλοις ὕστερα λαβδακίδαις.

δώσει καὶ μέγα βάκτρον, ὅ οἱ πόδας ἐς δέον ἄξει,
δώσει καὶ βιότου τέρμα πολυχρόνιον.
καὶ μόνος εὖτε θάνῃ πεπνυμένος ἐν νεκύεσσι
φοιτάσει, μεγάλῳ τίμιος ἀγεσίλᾳ.
ὣς φαμένα κατένευσε. τὸ δ' ἐντελὲς ᾧ κ' ἐπινεύσῃ
παλλάς. ἐπεὶ μόνᾳ ζεὺς τόγε θυγατέρων
δῶκεν ἀθαναίᾳ, πατρώϊα πάντα φέρεσθαι.
λωτροχόοι. μάτηρ δ' οὔ τις ἔτικτε θεάν.
ἀλλὰ διὸς κορυφά. κορυφὰ διὸς οὐκ ἐπινεύει
θυγάτηρ.
ἔρχετ' ἀθαναία νῦν ἀτρεχές. ἀλλὰ δέχεσθε
τὰν θεὸν ὦ κῶραι τ' ὦργον ὅσαις μέλεται,
σύν τ' εὐαγορίᾳ, σύν τ' εὔγμασι, σύν τ' ὀλολυγαῖς,
χαῖρε θεά. κάδευ δ' ἄργος ἰναχίου.
χαῖρε καὶ ἐξελάοισα. καὶ ἐς πάλιν αὖτις ἐλάσαις
ἵππους. καὶ δαναῶν κλᾶρον ἅπαντα σάω.

ΕΙΣ ΤΑ ΛΟΥΤΡΑ ΤΗΣ ΠΑΛΛΑΔΟΣ.

ΟΣΣΑΙ λωτροχόοι.) Ἐν τινὶ ἡμέρᾳ ὡρισμένῃ, ἔθος εἶχον αἱ ἀργεῖαι γυναῖκες λαμβάνειν τὸ ἄγαλμα τῆς ἀθηνᾶς, καὶ τὸ διομήδους, καὶ ἄγειν ἐπὶ τὸν ἴναχον. κἀκεῖ ἀπολούειν. Φρυασσομένων.) Ποιὸν ἦχον ἀποτελουσῶν. Σοῦσθέ νιν.) Ὁρμᾶτε. Ἀπονίψατο παχεῖς.) Ἀπὸ μέρους τὸ ὅλον. Γηγενέων.) Τῶν γιγάντων. Ἐφοιβάσσεν.) Ἐκάθηρεν. Μὴ δ' ἀλαβάστρως.) Ἀπὸ κοινοῦ τὸ οἴσετε. Συρίγγων.) Τῶν χοινικίδων. Ἀλαβάστρως.) Τὰς μυροθήκας. Παρ' εὐρώτα.) Ποταμὸς λακεδαιμονίας. Τοὶ λακεδαιμόνιοι.) Οἱ διό-

σκῦροι. Εμπόραμους.) Εμπείρους. Λιτὰ λαβοῖσα.) Ασκεύαστα, ἄμικτα. Αρσεν τι.) Ητοι καθαρὸν ἄμικτον. Ιλα.) Η τῶν νυμφῶν φρατεία, καὶ ἄθροισις. Ακεσοειδᾶν.) Ακεσοειδαι φυλὴ ἐπίσημος ἐν ἄργει. Εὐμήδης ἐδίδαξε.) Ποτὲ τῶν ἡρακλειδῶν ἐλθόντων κατὰ τῶν ὀρεσιαδῶν, Εὐμήδης ἱερεὺς τῆς ἀθηνᾶς ὑπενοήθη ὑπὸ τῶν ἀργείων, ὡς βουλόμενος προδοῦναι τὸ παλλάδιον τοῖς ἡρακλείδαις. φοβηθεὶς οὖν ὁ Εὐμήδης ἔλαβε τὸ παλλάδιον. καὶ παρεγένετο εἰς ὄρος τὸ καλούμενον ἴφειον. Κρεῖον δ' εἰς ὄρος.) Ορος ἄργους. Αποῤῥώγεσιν.) Εν πέτραις ἐῤῥηγμέναις. Οὔνομα παλλατίδων.) Οὕτω γὰρ καλοῦνται ἀπὸ τῆς παλλάδος. Ηʼς φυσάδειαν.) Φυσάδεια καὶ ἀμυμώνη θυγατέρες δαναοῦ. ὅθεν τὴν ὀνομασίαν ἔχουσι αἱ κρῆναι. Νύμφαν μίαν.) Τὴν χαρικλὼ μητέρα τοῦ τειρεσίου. Εὖτ' ἐπὶ θεσπιέων) Θέσπεια, κορώνεια, ἁλίαρτος, πόλεις βοιωτίας. Κουραλίω.) Ποταμὸς βοιωτίας. Ιππω ἐπὶ κράνᾳ.) Οὕτω καλεῖται ἵππου κρήνη ἐν ἑλικῶνι. Περκάζων.) Μελαινόμενος ὑπὸ τῆς φύσεως τῶν τριχῶν. Ω Εὐηρείδα.) Εὐήρους υἱὸς ὁ τειρεσίας. Αλαστα.) Ητοι ἀνεπίληστα ὑπομείνας. Μετὰ πάντα βαλεῦ.) Τὸ ἑξῆς μεταβαλεῦ. Πόσσα δ' ἀρισταῖος.) Ακταίων υἱὸς αὐτονόης καὶ ἀρισταίου. οὗτος ὑπὸ τῶν ἰδίων κυνῶν διεσπαράχθη διὰ τὸ τὴν ἄρτεμιν ἰδεῖν λουομένην.

Τὸν ἀβατάν.) Τὸν ἡβητήν. Τουτάκι.) Τηνικαῦτα. Μενεῦντι.) Μένουσιν. Ηλιθα.) Μάτην.

ΕΙΣ ΤΗΝ ΔΗΜΗΤΡΑ.



Ω καλάθω κατιόντος ἐπιφθέγξασθε γυναῖκες.
δάματερ. μέγα χαῖρε. πολύτροφε, πουλυμέδιμνε.
τὸν κάλαθον κατιόντα χαμαὶ θασεῖσθε βέβαλοι,

μὴδ'

μὴ δ' ἀπὸ τῶ τέγεος μὴ δ' ὑψόθεν αὐγάσησθε.
μὴ παῖς. μὴ δὲ γυνά. μὴ δ' ἃ κατεχεύατο χαίταν.
μὴ δ' ὅκ' ἀφ' αὐαλέων στομάτων πτύωμες ἄπαστοι.
ἕσπερος ἐκ νεφέων ἐσκέψατο πανίκα νεῖται.
ἕσπερος ὅς τε πιεῖν δαμάτερα μῶνος ἔπεισεν,
ἁρπαγίμας ὅτ' ἄπυστα μετέστιχεν ἴχνια κώρας.
πότνια, πῶς σε δύναντο πόδες φέρεν ἐς τ' ἐπὶ δυθμάς.
ἐς τ' ἐπὶ τὼς μέλανας. καὶ ὅπα τὰ χρύσεα μᾶλα.
οὐ πίες, οὔτ' ἄρ' ἔδες τῆνον χρόνον. οὐδ' ἐλοέσσω.
τρὶς μὲν δὴ διέβας ἀχελώιον ἀργυροδίναν,
τοσσάκι δ' ἀενάων ποταμῶν ἐπέρασας ἕκαστον,
τρὶς δ' ἐπὶ καλλιχόροιο χαμάδις καθίσσαο φρητὶ
αὐσταλέα ἄποτός τε, καὶ οὐ φάγες οὐδ' ἐλοέσσω.
μὴ μὴ ταῦτα λέγωμες. ἃ δάκρυον ἄγαγε δηοῖ.
κάλλιον ὡς πολίεσσιν ἑαδότα τέθμια δῶκε.
κάλλιστον ὡς καλάμαν τε καὶ ἱερὰ δράγματα πρᾶτα
ἀσταχύων ἀπέκοψε καὶ ἐν βόας ἧκε πατῆσαι,
ἁνίκα τριπτόλεμος ἀγαθὰν ἐδιδάσκετο τέχναν.
κάλλιον, ὡς ἵνα καί τις ὑπερβασίας ἀλέηται
ἰδέσθαι.
οὔπω τὰν κνιδίαν ἔτι δώτιον ἱρὸν ἔναιον.
τὶν δ' αὐτᾷ καλὸν ἄλσος ἐποιήσαντο πελασγοὶ
δένδρεσιν ἀμφιλαφές. διά κεν μόλις ἦλθεν οἰστός.
ἐν πίτυς, ἐν μεγάλαι πτελέαι ἔσαν, ἐν δὲ καὶ ὄχναι,
ἐν δὲ καλὰ γλυκύμαλα. τὸ δ' ὥστ' ἀλέκτρινον ὕδωρ
ἐξ ἀμαρᾶν ἀνέθυε. θεὰ δ' ἐπεμαίνετο χώρῳ.

ὅσον ἐλαύνειν, τρίσσῳ θ' ὅσσον, ὁκκόσον ἦνα.
ἀλλ' ὅκα τριοπίδαισιν ὁ δεξιὸς ἄχθετο δαίμων,
τουτάκις ἁ χείρων ἐρυσίχθονος ἅψατο βωλά.
σεύατ' ἔχων θεράποντας ἐείκοσι πάντας ἐν ἀκμᾷ,
πάντας δ' ἀνδρογίγαντας· ὅλαν πόλιν ἀρκιοι ἆραι·
ἀμφοτέρον πελέκεσσι καὶ ἀξίναισιν ὁπλίσσας
ἐς δὲ τὸ τᾶς δάματρος ἀναιδέες ἔδραμον ἄλσος.
ἦς δέ τις αἴγειρος μέγα δένδρεον αἰθέρι κῦρον.
τῷ δ' ἔπι ταὶ νύμφαι ποτὶ τ' ὤνδιον ἑψιόωντο.
ἃ πρᾶτα πλαγεῖσα, κακὸν μέλος ἴαχεν ἄλλαις.
ᾔσθετο δαμάτηρ ὅτι οἱ ξύλον ἱερὸν ἀλγεῖ.
εἶπε δὲ χωσαμένα. τίς μοι καλὰ δένδρεα κόπτει.
αὐτίκα νικίππῃ τάν οἱ πόλις ἀρήτειραν
δαμοσίαν ἔστασαν, ἐείσατο. γέντο δὲ χειρὶ
στέμματα καὶ μάκωνα. κατωμαδίαν δ' ἔχε κλαῖδα.
φᾶ δὲ παραψύχοισα κακὸν καὶ ἀναιδέα φῶτα.
τέκνον. ὅτις τὰ θεοῖσιν ἀνειμένα δένδρεα κόπτεις.
τέκνον ἐλίνυσον, τέκνον πολύθεστε τοκεῦσι.
παύεο καὶ θεράποντας ἀπότρεπε. μή τι χαλεφθῇ
πότνια δαμάτηρ. τᾶς ἱερὸν ἐκκεραΐζεις.
τὰν δ' ἄρ' ὑποβλέψας χαλεπώτερον ἢ κυναγὸν
ὤρεσιν ἐν τμαρίοισιν ὑποβλέπει ἄνδρα λέαινα
ὠμοτόκος. τᾶς φαντὶ πέλειν βλοσυρώτατον ὄμμα.
χάζευ ἔφα, μή τοι πέλεκυν μέγαν ἐν χροῒ πάξω.
ταῦτα δ' ἐμὸν θησεῖ στεγανὸν δόμον. ᾧ ἔνι δαῖτας
αἰὲν ἐμοῖς ἑτάροισιν ἅδην θυμαρέας ἀξῶ.

εἶπεν

εἶπεν ὁ παῖς. νέμεσις δὲ κακὰν ἐγράψατο φωνάν.
δαμάτηρ δ' ἄφατόν τι κοτέσατο. γείνατο δ' ἁ θεῦς
ἴθματα μὲν χέρσῳ. κεφαλὰ δέ οἱ ἅψατ' ὀλύμπω.
οἱ μὲν ἄρ' ἡμιθνῆτες ἐπεὶ τὰν πότνιαν εἶδον
ἐξαπίνης ἀπέρουσαν ἐνὶ δρυσὶ χαλκὸν ἀφέντες.
ἁ δ' ἄλλους μὲν ἔασεν. ἀναγκαίᾳ γὰρ ἕποντο
δεσποτικὰν ὑπὸ χεῖρα. βαρὺν δ' ἀπαμείψατ' ἄνακτα.
ναὶ ναί. τεῦχεο δῶμα κύον κύον. ᾧ ἔνι δαῖτας
ποιησεῖς. θαμιναὶ γὰρ ἐς ὕστερον εἰλαπίναι τοι.
ἁ μὲν τόσσ' εἰποῖσ', ἐρυσίχθονι τεῦχε πονηρά.
αὐτίκα οἱ χαλεπόν τε καὶ ἄγριον ἔμβαλε λιμόν.
αἴθωνα κρατερόν. μεγάλᾳ δ' ἐστρεύγετο νούσῳ.
σχέτλιος ὅσσα πάσαιτο τόσων ἔχεν ἵμερος αὖτις.
εἴκατι δαῖτα πένοντο. δυώδεκα δ' οἶνον ἄφυσσον.
τόσσα διώνυσον γὰρ, ἃ καὶ δάματρα χαλέπτει.
καὶ γὰρ τᾷ δάματρι συνωργίσθη διόνυσος.
οὔτε μιν εἰς ἐράνως οὔτε ξυνδείπνια πέμπον
αἰδόμενοι γονέες. προχανὰ δ' εὑρίσκετο πᾶσα.
ἦνθον ἰτωνιάδος μιν ἀθαναίας ἐπ' ἄεθλα
ὀρμένιδαι καλέοντες. ἀπ' ὦν ἠρνήσατο μάτηρ.
οὐκ ἔνδοι. χθιζὸς γὰρ ἐπὶ κραννῶνα βέβηκε
τέλθος ἀπαιτήσων ἑκατὸν βόας. ἦνθε πολυξὼ
μάτηρ ἀκτορίωνος, ἐπεὶ γάμον ἄρτυε παιδί.
ἀμφότερον τριόπαν τε καὶ υἱέα κικλήσκουσα.
τὰν δὲ γυνὰ βαρύθυμος ἀμείβετο δακρυχέοισα.
νεῖταί τοι τριόπας. ἐρυσίχθονα δ' ἤλασε κάπρος

πίνδου

πίνδον ἀν' ἐυάγκειαν. ὁ δ' ἐννέα φάεα κεῖται.
δειλαία φιλότεκνε. τί δ' οὐκ ἐξεύξαο ματρί.
δαίνυεν εἰλαπίνας τίς; ἐν ἀλλοτρίοις ἐρυσίχθων.
ἄγετό τις νύμφαν, ἐρυσίχθονα δίσκος ἔτυψεν.
ἢ ἔπεσ' ἐξ ἵππων. ἢ ἐν ὄθρυϊ ποίμνι' ἀριθμεῖ.
ἐνδόμυχος δ' ἤπειτα πανήμερος εἰλαπιναστὰς,
ἤσθιε μυρία πάντα. κακὰ δ' ἐξάλλετο γαστὴρ
αἰεὶ μᾶλλον ἔδοντι. τὰ δ' ἐς βυθὸν οἷα θαλάσσης
ἀλεμάτως ἀχάριστα κατέῤῥεεν εἴδατα πάντα.
ὡς δὲ μίμαντι χιὼν, ὡς ἀελίῳ ἐνὶ πλάγγων,
καὶ τούτων ἔτι μείζων ἐτάκετο. μέσφ' ἐπὶ νεῦρας
δειλαίῳ ἶνές τε καὶ ὀστέα μοῦνον ἔλιφθεν.
κλαῖε μὲν ἁ ματὴρ. βαρὺ δ' ἔστενον αἱ δύ' ἀδελφαί.
χὠ μαστὸς τὸν ἔπινε. καὶ αἱ δέκα πολλάκι δῶλαι.
καὶ δ' αὐτὸς τριόπας πολιὰς ἐπὶ χεῖρας ἔβαλλε.
τοῖα τὸν οὐκ ἀΐοντα ποσειδάωνα καλιστρέων.
ψευδοπάτωρ. ἴδε τόνδε τεοῦ τρίτον. εἴπερ ἐγὼ μὲν
σεῦ τε καὶ αἰολίδος κανάκης γένος. αὐτὰρ ἐμεῖο
τοῦτο τὸ δείλαιον γένετο βρέφος. αἴθε γὰρ αὐτὸν
βλητὸν ὑπ' ἀπόλλωνος ἐμαὶ χέρες ἐκτερέιξαν.
νῦν δὲ κακὰ βούβρωστις ἐν ὀφθαλμοῖσι κάθηται.
ἤ οἱ ἀπόστασον χαλεπὰν νόσον, ἠέ μιν αὐτὸς
βόσκε λαβών. ἁμαὶ γὰρ ἀπειρήκαντι τράπεζαι.
χῆραι μὲν μάνδραι. κενεαὶ δέ μοι αὖλιες ἤδη
τετραπόδων. ἤδη γὰρ ἀπηρνήσαντο μάγειροι.
ἀλλὰ καὶ οὐρῆας μεγάλαν ὑπέλυσαν ἁμαξᾶν.

καὶ τὰ

καὶ τὰν βῶν ἔφαγε τὰν ἑςίᾳ ἔτρεφε μάτηρ.
καὶ τὸν ἀεθλοφόρον καὶ τὸν πολεμήϊον ἵππον.
καὶ τὰν αἴλουρον τὰν ἔτρεμε θηρία μικκά.
μέσφ' ὅτε μὲν τριόπαο δόμοις ἔνι χρήματα κεῖτο
μῶνοι ἄρ οἰκεῖοι θάλαμοι κακὸν ἠπίσαντο.
ἀλλ' ὅτε τὸν βαθὺν οἶκον ἀνεξήραινον ὀδόντες,
καὶ τότ' ὁ τῶ βασιλῆος ἐνὶ τριόδοισι καθῆσο,
αἰτίζων ἀκόλους τε καὶ ἔκβολα λύματα δαιτός.
δάματερ. μὴ τῆνος ἐμὶν φίλος ὅς τοι ἀπεχθής,
εἴη. μὴ δ' ὁμότοιχος. ἐμοὶ κακογείτονες ἐχθροί.
εἴπατε παρθενικαὶ καὶ ἐπιφθέγξασθε τεκοῦσαι,
δάματερ μέγα χαῖρε, πολύτροφε πουλυμέδιμνε.
χ' ὥσαι τὸν κάλαθον λευκότριχες ἵπποι ἄγοντι
τέσσαρες, ὡς ἁμὶν μεγάλα θεὸς εὐρυάνασσα,
λευκὸν ἔαρ λευκὸν δὲ θέρος καὶ χεῖμα φέροισα,
ἥξει καὶ φθινόπωρον, ἔτος δ' εἰς ἄλλο φυλαξεῖ.
ὡς δ' ἀπεδίλωτοι καὶ ἀνάμπυκες ἄστυ πατεῦμες,
ὡς πόδας ὡς κεφαλὰς παναπηρέας ἕξομες αἰεί.
ὡς αἱ λικνοφόροι χρυσῶ πλέα λίκνα φέροντι,
ὡς ἄμμες τὸν χρυσὸν ἀφειδέα πασαίμεσθα,
μέσφα τὰ τᾶς πόλιος πρυτανήϊα τὰς ἀτελέςας
τὰς δὲ τελεσφορίας, ποτὶ τὰν θεὸν ἄχρις ὁμαρτεῖν
αἵ τινες ἑξήκοντα κατώτεραι αἵ τε βαρεῖαι.
χ' ἅ τις ἐλειθυίᾳ τείνει χεῖρα. χ' ἅ τις ἐν ἄλγει.
ὡς ἅλις ὡς αὐτὰν ἱκανὸν γόνυ. ταῖσι δὲ δηὼ
δωσεῖ πάντ' ἐπίμεςα. καὶ ὡς ποτὶ ναὸν ἵκωνται.

χαῖρε θεά. καὶ τάνδε σάω πόλιν. ἔν τ' ὁμονοίᾳ.
ἔν τ' εὐημερίᾳ. φέρε δ' ἀγρόθι νόστιμα πάντα.
φέρβε βόας. φέρβε μᾶλα. φέρβε στάχυν. οἶσε θερισμόν.
φέρβε καὶ εἰράναν. ἵν' ὃς ἄροσε κεῖνος ἀμάσει.
ἵλαθί μοι τρίλλιστε μέγα κρείουσα θεάων.

ΤΕΛΟΣ ΤΩΝ ΕΥΡΙΣΚΟ-
μένων Καλλιμάχου ὕμνων.

ΕΙΣ ΤΟΝ ΔΗΜΗΤΡΟΣ.

ΤΩ καλάθω κατιόντος.) Ὁ φιλάδελφος πτολεμαῖος, κατὰ μίμησιν τῶν ἀθηναίων, ἔθη τινὰ ἵδρυσεν ἐν ἀλεξανδρείᾳ. ἐν οἷς καὶ τὴν τοῦ καλάθου πρόοδον. ἔθος γὰρ ἦν ἐν ἀθήναις, ἐν ὡρισμένῃ ἡμέρᾳ, ἐπὶ ὀχήματος φέρεσθαι καλάθιον εἰς τιμὴν τῆς Δήμητρος. Εἰς τὸν ἐπὶ μέλανας.) Τοὺς αἰθίοπας. Οὔπω τὰν κνιδίαν.) Χώρα θεσσαλίας. Ὡς τὸ ἀλέκτρινον ὕδωρ.) Διαυγές. παρὰ τὸ ἤλεκτρον. Ἐξ ἀμαξᾶν.) Ὅμηρος. ἀμάξης ἐξ ἔχματα βαλών. εἰσὶ δὲ αἱ ὑδρορρόαι. Ὅσσον ἐλευσῖνι.) Ἐλευσίν, ἐστὶν ἔνθα δῆμοι ἀττικῆς. Ποτὶ τὸν ἔνδιον.) Περὶ τὸ μεσημβρινόν, ἔπαιζον. Εἴσατο.) Ὡμοιώθη. Ἔχε κλᾶδα.) Τὴν κλεῖν ὡς ἱέρεια.

Ἀνημμένα.) Ἀνακείμενα. Πολύθεστε.) Πολυπόθητε. Προχανά.) Πρόφασις. Ἦνθον ἰτωνιάδευ.) Ἰτὼν πόλις θεσσαλίας. ἔνθα τιμᾶται ἀθηνᾶ. γένος δὲ ἐπίσημον οἱ ὀρμενίδαι. Ἐπὶ κρανῶνα βέβηκε.) Πόλις θεσσαλίας. Ἦνθε πολυξώ.) Ἐπίσημος αὕτη.

Καὶ ἥεα.) Τὸν ἐρυσίχθονα. Νεῖταί τοι τριόπας.) Ἔρχεται.

Δαίνυεν εἰλαπίνας.) Εἰ ἑστιῶν φίλους ἦν τίς, ἐζητεῖτο δ' ἐρυσίχθων, ἔλεγεν ἡ μήτηρ ἐν ἀλλοτρίοις οἰκήμασιν εἶναι. Κακὰ δ' ἐξαί-


δ' ἀξαίλου.) Ηὐξάνετο ὥστε καὶ ἐσθίειν. Αλεμάτως.) Ματαίως. Πλάγκων.) Η κήρινος νύμφη. Χ' ὠ μαςὸς τὸν ἔπινε.) Καὶ ὁ μαςὸς ὃν ἔπινεν ἐγὼ ἡ τροφός. Αἰολίδας κανάκης γένος.) Η κανάκη μήτηρ τριόπα. θυγάτηρ αἰόλου. Ταὶ ἑςίᾳ ἔτρεφε.) Ον τινα τῇ ἑςίᾳ ἔτρεφεν ἡ αὐτοῦ μήτηρ. Καὶ τὰν αἴλουρον.) Τὸν ἰδιωτικῶς λεγόμενον κάττον. Θηρία μικκά.) Οἱ μύες. Ανξήραινον.) Ερημον ἐποίουν. Ακόλους.) Αρτους. Λευκόν.) Λαμπρόν. Παναπηρέας.) Αβλαβῆς. Ως αἱ λικνοφόροι χρυσῶ.) Η χρυσῷ πεπληρωμένα. ἢ ὅτι περιεχρύσουν αὐτὰ διὰ εὐπρέπειαν. Πρυτανήϊα τὰς ἀτελέςως.) Τὰς μὲν ἀμυήτους κελεύω μέχρι τοῦ πρυτανείου παραγενέσθαι. αἳ τινες δέ εἰσιν ἑξήκοντα ἐνιαυτῶν ἢ καὶ πλειόνων, ταύτας κελεύω μετὰ τὸ δυνατὸν ἀκολουθῆσαι καὶ καλάθῳ. Ταῖσι δὲ δηώ.) Ταῖς ἐλθούσαις καὶ ταῖς μὴ ἐλθούσαις ἴσον μισθὸν δώσει.

ΤΕΛΟΣ ΤΩΝ Σχολίων.

ΕΙΣ ΚΑΛΛΙΜΑΧΟΝ.

ΙΧΝΙΑ μαστεύων, ῥυθμίσατο σῶμα πέλωρον
πάνσοφος ἡρακλέους πρίν ποτε πυθαγόρης.
δοῦρας ἀλεξάνδρου δ᾽ ἵππους ὑπὸ πίονι νηῷ
δηρὸν ἔλην. μεγάλης μνημόσυνον παλάμης.
καί σεο δ᾽ οἷα λέοντος ὄνυξ, τόδε καλλίμαχ᾽ ἥρως
λείψανον εὐΰμνων λαμπρὸν ἔδειξε νόον.
ὡς γόνιμον. σοφίην πιστούμενον. εἴσιδε τέχνην.
ἀέναον φωνήν. ἔνθεον ἁρμονίην.
ὀκτάκις εἰ δ᾽ ἑκατὸν στίχα βίβλων ὤλεσεν αἰὼν
λευγαλέος. βαιὸν ζεὺς τό δ᾽ ἔσωσε μέλος
ἀρχέτυπον τελέθειν θεῖον γένος ἥν τις ἀείδῃ
μορφῆς ὡς πλάσταις κυάνεον βλέφαρον.
μήποτε δ᾽ ἐξάρχοντος ἔοι σπάνις ὑμνοπόλοισι
μολπῆς, χαλκογράφων ξυνὸν ἔθηκε τέχνη.

ΛΑΣΚΑΡΕΩΣ.



ΓΝΩΜΑΙ ΕΚ ΔΙΑΦΟΡΩΝ ΠΟΙΗΤΩΝ ΦΙΛΟΣΟΦΩΝ ΤΕ

Ἐκ ῥητόρων συλλεγεῖσαι, καὶ στοι-
χεῖον συντεταγμέναι.

ΠΕΡΙ ΑΙΔΟΥΣ.

Εὐριπίδου.



Πότνι' αἰδὼς, εἴθε τοῖς πᾶσι βροτοῖς
συνοῦσα τ' ἀναίσχυντον ἐξήρου φρενῶν.

Τοῦ αὐτοῦ.

βούλομαί σ' εἰπεῖν εὖ βραχέα μὴ λίαν
αἴνω βλέφαρα πρὸς τ' ἀναιδὲς ἀσατῶν.
ἀλλὰ σωφρονεστέρως ὡς ἀδελφὸν ὄντα.
ἀνὴρ γὰρ χρηστὸς, χρηστὸν αἰδεῖσθαι φιλεῖ.

Τοῦ αὐτοῦ.

Αἰδὼς ἐν ὀφθαλμοῖσι γίγνεται τέκνον.

Θεόγνιδος.

Οὐδένα θησαυρὸν καταθήσεαι ἔνδον ἀμείνω
αἰδοῦς. ἣν ἀγαθοῖς ἀνδράσι Κύρνε δίδως.

Ἀγάθωνος.

Ἀδικεῖν νομίζων, ὄψιν αἰδοῦμαι φίλων.

Στασίμου ἐκ τῶν κυπρείων.

Ζῆνα δὲ τὸν ῥέξαντα. καὶ ὃς τάδε πάντ᾽ ἐφύτευσεν οὐκ ἐθέλεις εἰπεῖν. ἵνα γὰρ δέος, ἔσαι καὶ αἰδώς.

Πλάτων ἐκ τοῦ εὐθύφρονος.

Λέγω γὰρ δὴ τὸ ἐναντίον ἢ ὁ ποιητὴς ἐποίησεν ὁ ποιήσας, ζῆνα δὲ τὸν ῥέξαντα. καὶ ὃς τάδε παντ᾽ ἐφύτευσεν οὐκ ἐθέλῃς εἰπεῖν. ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς. πολλοὶ γάρ μοι δοκοῦσι καὶ νόσους καὶ πενίας, καὶ ἄλλα πολλὰ τοιαῦτα δεδιέναι μὲν. αἰδεῖσθαι δὲ μηδὲν ταῦτα, ἃ δεδίασιν. ὃ καὶ σοὶ δοκεῖ; πάνυ γε. ἀλλ᾽ ἵνα γε αἰδὼς, ἔνθα καὶ δέος ἐστίν. ἐπεὶ ἔστιν ὅς τις αἰδούμενός τι πρᾶγμα καὶ αἰσχυνόμενος, οὐ πεφόβηταί τε καὶ δέδοικεν ἅμα δόξαν πονηρίας; δέδοικε μὲν οὖν. οὐκ ἄρα ὀρθῶς ἔχει λέγειν· ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς. ἀλλ᾽ ἵνα μὲν αἰδὼς, ἔνθα καὶ δέος. οὐ μέντοι γε ἵνα γε δέος, πανταχοῦ αἰδώς. ἐπὶ πλέον γὰρ οἶμαι δέος αἰδοῦς. μόριον γὰρ αἰδὼς δέους. ὥσπερ ἀριθμοῦ περιττόν. ὥς τε οὐχ ἵναπερ ἀριθμὸς, ἔνθα καὶ περιττόν. ἵνα δὲ καὶ περιττὸν, ἔνθα καὶ ἀριθμός.

Δημοσθένους.

Φαῦλον κἂν μόνος ᾖ, μή τε λέξῃς, μή τ᾽ ἐργάσῃ. μάθε δὲ πολὺ μᾶλλον τῶν ἄλλων σεαυτὸν αἰσχύνεσθαι.

Πυθιάδος.

Πυθιὰς ἡ ἀριστοτέλους θυγάτηρ ἐρωτηθεῖσα ποῖον κάλλιστον χρῶμα, ἔφη. τὸ διὰ τὴν αἰδῶ τοῖς ἐλευθέροις ἐπιγιγνόμενον.

Σωπά-

Σωπάτρου.

Αἰδοῦ πρὸς τὰς διημαρτημένας τῶν πολλῶν ἀπο-
βλέπειν δόξας. τὸν δ' ἀπὸ τῆς ἀληθείας λόγον, πάν-
των ἐπίπροσθεν ἄγε, καὶ ὅτε φαινομένην ἐπιτρέπει-
αν μετὰ βλάβης τῶν ἀρχομένων αἱρεῖσθαι, ὅτε δο-
κοῦσαν ἀδοξίαν ἐπ' ὠφελείᾳ τῶν ὑπηκόων φεύγειν.
εἰ μὴ τῆς τυχούσης φαντασίας, ἀλλὰ τῆς ἀρίστης ζωῆς
μεταποιεῖσθαι μέλλοιμεν.

Πυθαγόρου.

Θέλε μᾶλλον τοὺς σιωπῶντάς σοι αἰδεῖσθαί σε ἢ φοβεῖ-
σθαι. αἰδοῖ μὲν γὰρ πρόσεστιν σέβας. φόβῳ δὲ μῖσος.

Θεοφράστου.

Αἰδοῦ σεαυτόν, καὶ ἄλλον οὐκ αἰσχυνθήσῃ.

ΠΕΡΙ ΑΝΑΙΔΕΙΑΣ.

Θεόγνιδος.

ΗΔΗ νῦν αἰδὼς μὲν ἐν ἀνθρώποισιν ὄλωλεν.
αὐτὰρ ἀναιδείη γαῖαν ἐπιστρέφεθ' ὁμῶς.

Εὐριπίδου.

Οὔτοι θάρσος τόδ' ἐστὶν οὐδ' εὐτολμία,
φίλον κακῶς δράσαντ' ἐναντίον βλέπειν.
ἀλλ' ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
πασῶν ἀναίδεια. σὺ δ' ἐπίκεισαι καλῶν.

Θεογόνου.

Ἅπαντ' ἐν ἀνθρώποισι γηράσκειν ἔφυ.

καὶ πρὸς

καὶ πρὸς τελευτὴν ἔρχεται τὰ τοῦ χρόνου.
πλὴν ὡς ἔοικε τῆς ἀναιδείας μόνον.
αὕτη δ' ὅσῳ περ αὔξεται θνητῶν γένος
τοσῷδε μείζων γίνεται καθ' ἡμέραν.

Μενάνδρου.

Ω μεγίστη τῶν θεῶν νῦν οὖσ' ἀναίδεια.
εἰ θεὸν καλεῖν σε δεῖ. δεῖ δὲ,
τὸ κρατοῦν γὰρ νῦν νομίζεται θεός.
ἐφ' ὅσον βαδίζεις. ἐφ' ὅσον ἥξειν μοι δοκεῖς.

Ηροδότου.

Αμα δὲ χιτῶνι ἐκδυομένῳ, ἐκδύεται καὶ τὴν αἰδῶ γυνή.

Ξενοφῶντος.

Επεσθαι δὲ δεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἀναισχυντίαν, καὶ γὰρ αὕτη δοκεῖ εἶναι μεγίστη ἐπὶ πάντα τὰ αἰσχρά.

ΠΕΡΙ ΑΔΙΚΙΑΣ.

Μενάνδρου.

ΟΣ τις ὑπέχει χρυσίῳ τὴν χεῖρα, κἂν μὴ φῇ, πονηρὰ βουλεύεται.

Τοῦ αὐτοῦ.

Οὐδεὶς ἐπλούτησε ταχέως δίκαιος ὤν.

Τοῦ αὐτοῦ.

Εργον εὑρεῖν συγγενῆ πένητός ἐστιν.

οὐδεὶς

οὐδεὶς γὰρ ὁμολογεῖ αὐτὸν προσήκειν,
τὴν βοηθείας τινὸς δεόμενον.
αἰτεῖσθαι γὰρ ἅμα τι προσδοκᾷ.

Τοῦ αὐτοῦ.

Πλεονεξία μέγιστον ἀνθρώποις κακόν.
οἱ γὰρ θέλοντες προσλαβεῖν τὰ τῶν πέλας
ἀποτυγχάνουσι πολλάκις νικώμενοι.
τὰ δ' ἴδια προστιθέασι τοῖς ἀλλοτρίοις.

Θεοδέκτου.

Ὦ καλλιφεγγὴ λαμπὰδ' εἰλίσσων φλογὸς
ἥλιε, πρόξενον πᾶσιν ἀνθρώποις σέλας.
εἶδές τιν' ἄλλον πώποτ' εἰς οὕτω μέγαν
ἐλθόντ' ἀγῶνα καὶ δυσέκφευκτον κρίσιν;
ὅπου κατηγορεῖ μὲν ἐν λόγοισί μου
γυνή. πρὸς ὃν δ' εἴρηκε τυγχάνει πόσις.
κρατοῦσι δ' οἱ πόρ καὶ κατηγοροῦσί μου.

Διφίλου.

Ἆρ' ἐστὶν ἀνοητότατον αἰσχροκέρδεια.
πρὸς τὸ λαβεῖν γὰρ ὢν ὁ νοῦς τ' ἄλλ' οὐχ ὁρᾷ.

Τοῦ αὐτοῦ.

Εἰ μὴ τὸ λαβεῖν ᾖ, οὐδὲ εἷς πονηρὸς ᾖ. φιλαργυρία
τοῦτ' ἐστίν, ὅταν ἀφῇς σκοπεῖν τὰ δίκαια, τοῦ κέρ-
δους δαπανητὸς δοῦλος ᾖ.

Εὐριπίδου.

Ὅστις γὰρ ὑπὲρ τὸ πλέον ἔχειν πέφυκ' ἀνήρ,
οὐδὲν φρονεῖ δίκαιον οὐδὲ βούλεται.

φίλοις τ' ἄμικτός ἐστι καὶ πάσῃ πόλει.

Τοῦ αὐτοῦ.

Βίᾳ νῦν ἕλκετ' ὦ κακοὶ τιμὰς βροτοὶ
καὶ κτᾶσθε πλοῦτον πάντοθεν θηρώμενοι.
σύμμικτα μὴ δίκαια, καὶ δίκαι' ὁμοῦ.
ἔπειτ' ἀμᾶσθε τῶνδε δύστηνον θέρος.

Τοῦ αὐτοῦ.

Κακοῖς τὸ κέρδος τῆς δίκης ὑπέρτερον.

Ἀριστοφάνους.

Οἱ δημόσια γὰρ μισθοφοροῦντες χρήματα
ἴδια σκοπεῖσθ' ἕκαστος ὅτι τις κερδανεῖ.
τὸ δὲ κοινὸν ὥσπερ σιμὸς κυλίνδεται.

Ἡσιόδου.

Νήπιοι οὐδ' ἴσασι πλέον ὅσον ἥμισυ παντός.
οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ.

Τοῦ αὐτοῦ.

Χρήματα δ' οὐχ ἁρπακτὰ θεόσδοτα πολλὸν ἀμείνω.

Μενάνδρου.

Λέγεις. ἃ δὲ λέγεις ἕνεκα τοῦ λαβεῖν λέγεις.

Εὐριπίδου.

Ἀδίκως δὲ μὴ κτῶ χρήματ' ἢν βούλει πολὺν
χρόνον μελάθροις ἐμμένειν. τὰ δ' ἀδίκως,
οἴκους εἰσελθόντ' οὐκ ἔχει σωτηρίαν.

Ὑπερίδου.

Ἀρχομένων δεῖ τῶν ἀδικημάτων ἐμφράττειν τὰς ὁδούς. ὅταν δ' ἅπαξ ῥιζωθῇ κακία, καὶ παλαιὰ γίνηται, κα'

ται, καθάπερ σύντροφος ἀῤῥωστία, χαλεπὸν κατασβέσαι.

Ἰσάκος.

Ἀρκοῦ τοῖς σαυτοῦ, καὶ μὴ διάρπαζε τὰ πλησίον. μὴ δ' ἂν προΐεσο τῶν σῶν ὡς κατὰ τοῦτο μειονεκτῶν.

Κλειτάρχου.

Ἀγωνιζόμενος ὑπὲρ οὗ ἀδίκως ἔπραξας, δὶς ἀδικήσεις.

Δημοκρίτου.

Ἀγαθὸν οὐ τὸ μὴ ἀδικέειν, ἀλλὰ τὸ μὴ ἐθέλειν.

Ἡροδότου ἱστορίας ζ.

Ἐγὼ μὲν οὖν βασιλεῦ οἷα ἄνθρωπος ἰδὼν ἤδη πολλά τε καὶ μεγάλα πεσόντα πράγματα ὑπὸ ἡσσόνων, οὐκ ἐῶ σε τὰ πάντα τῇ ἡλικίῃ ἥκειν, ἐπιστάμενος ὡς κακὸν εἴη τὸ πολλῶν ἐπιθυμέειν.

Σιμωνίδης παρακαλοῦντός τινος ἐγκώμιον ποιῆσαι, καὶ χάριν ἕξειν λέγοντος, ἀργύριον δὲ μὴ διδόντος, δύο εἶπεν οὕτως ἔχω κιβωτούς. τὴν μὲν χαρίτων. τὴν δὲ ἀργυρίου. καὶ πρὸς τὰς χρείας τὴν μὲν τῶν χαρίτων κενὴν εὑρίσκω, ὅταν εὑρίσκω. τὴν δὲ χρησίμην μόνην.

Ἀντισθένους.

Φιλάργυρος οὐδεὶς ἀγαθός, οὔτε βασιλεύς, οὔτε ἐλεύθερος.

Δημονίκου.

Χρημάτων ὄρεξις ἣν μὴ ὁρίζηται λόγῳ, πενίης

δὲ χάτης πολλὸν χαλεπωτέρη. μεῖζον δὲ γὰρ ὀρέξεις, μείζονας ἐνδείας ποιοῦσιν.

Ἐκ τῶν ἀρίστωνος.

Ἀριστοτέλης ἔφη ὅτι ὀκτώ τινες κοινῇ λῃστεύοντες, ἐστασίασαν πρὸς ἀλλήλους περὶ σκύλων. καὶ τέσσαρες αὐτῶν κατελείφθησαν. πάλιν ἔτι πρὸς ἀλλήλους διενέχθησαν, καὶ δύο κατελείφθησαν. εἶτα εἷς. καὶ τί ὑπόλοιπον, ἢ στασιάσει τὰ δεξιὰ πρὸς τὰ ἐυώνυμα.

Σωκράτους.

Οὔτε παρὰ νεκροῦ ὁμιλίαν, οὔτε παρὰ φιλαργύρου χάριν δεῖ ζητεῖν.

Δημοσθένους.

Ἐλπὶς κακοῦ κέρδους ἀρχὴ ζημίας.

Σιμωνίδης ἐρωτηθεὶς διὰ τί δὲ χάριν γήρως ὢν φιλάργυρος εἴη· ὅτι εἶπε βουλοίμην ἂν ἀποθανὼν τοῖς ἐχθροῖς μᾶλλον ἀπολιπεῖν, ἢ ζῶν δεῖσθαι τῶν φίλων· κατεγνωκὼς τι τῆς τῶν πολλῶν φιλίας τὸ ἀβέβαιον.

Διογένης, τοὺς μεγάλα καὶ ἀθρόα λαμβάνοντας, μεγαλοπτώχους ἐκάλει.

Πλάτωνος.

Πενίαν ἡγητέον εἶναι μὴ τὸ τὴν οὐσίαν ἐλάττω ποιεῖν, ἀλλὰ τὸ τὴν ἀπληστίαν πλείω.

Τοῦ αὐτοῦ.

Ἐσχάτη γὰρ ἀδικία, δοκεῖν δίκαιον εἶναι μὴ ὄντα.

Σεμίραμις δὲ ἑαυτῇ κατασκευάσασα τάφον, ἐπέγραψεν· ὅς τις χρημάτων δεηθῇ βασιλεύς, διελόντα τὸ μνη-

τὸ μνημεῖον, ὅσα βούλεται λαβεῖν. Δαρεῖος δὲ διελὼν, χρήματα μὲν οὐκ εὗρε. γράμμασι δὲ ἑτέροις ἐνέτυχε τάδε φράζουσιν. εἰ μὴ κακὸς ἦς ἀνὴρ καὶ χρημάτων ἄπληστος, οὐκ ἂν νεκρῶν θήκας ἐκίνεις.

ΠΕΡΙ ΑΚΡΑΣΙΑΣ.

Θεόγνιδος.

Πολλῷ τοι πλέονας λιμοῦ κόρος ὤλεσεν ἤδη,
ἄνδρας ὅσοι μοίρας πλεῖον ἐθέλουσιν ἔχειν.

Τοῦ αὐτοῦ.

Ἐχθρόν τοι μεθύοντα παρ' ἀνδράσι νήφοσιν εἶν',
ἐχθρὸν δ' εἰ νήφων παρ μεθύουσι μένῃ.

Τοῦ αὐτοῦ.

Οἶνος πινόμενος πουλὺς κακός. ἢν δέ τις αὐτὸν
πίνῃ ἐπισταμένως, οὐ κακὸς ἀλλ' ἀγαθός.

Τοῦ αὐτοῦ.

Ὃς δ' ἂν ὑπερβάλλῃ πόσιος μέτρον, οὐκέτ' ἐκεῖνος
τῆς αὐτοῦ γλώσσης καρτερὸς οὐδὲ νόου.
μυθεῖται δ' ἀπάλαμνα τὰ νήφουσι γίνεται αἰσχρὰ,
αἰδεῖται δ' ἔρδων οὐδὲν ὅταν μεθύῃ.
τὸ πρὶν ἐὼν σώφρων. τότε νήπιος. ἀλλὰ σὺ ταῦτα
γινώσκων, μὴ πῖν' οἶνον ὑπερβολάδην.
ἀλλ' ἢ πρὶν μεθύων ὑπανίστασο, μὴ δὲ βιάσθω
γαστὴρ. ὥς τε κακὸν λάτριν ἐφημέριον.
ἄφρονος ἀνδρὸς ἄγαν καὶ σώφρονος οἶνος. ὅταν δὲ

πίνῃ ὑπὲρ μέτρον, κοῦφον ἔθηκε νόον.

Τοῦ αὐτοῦ.

Ἐν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες
γινώσκουσ᾽ ἀνδρὸς δ᾽ οἶνος ἔδειξε νόον.
ἢ μάλα περ πινυτοῦ. κακότητα δὲ πᾶσαν ἐλέγχει
ὥς τε καταισχύνειν καὶ τὸν ἐόντα σοφόν.
οἰνοβαρέω κεφαλὴν ὀνομάκριτε καί με βιᾶται,
οἶνος. ἀτὰρ γνώμης οὐκέτ᾽ ἐγὼ ταμίης
ἡμετέρης. τὸ δὲ δῶμα περιτρέχει. ἀλλ᾽ ἄγ᾽ ἀναστὰς
πειρήσω. μή πως καὶ πόδας οἶνος ἔχῃ.
καὶ νόον ἐν στήθεσι. δέδοικα δὲ μή τι μάταιον
ἔρξω θωρυχθεὶς, καὶ μέγ᾽ ὄνειδος ἔχω.

Ἐρατοσθένους.

Οἶνός τοι πυρὶ ἶσον ἔχει μένος εὖτ᾽ ἂν ἐς ἄνδρα
ἔλθῃ. κυμαίνει δ᾽ οἷα λίβυσσαν ἅλα
βορῆς, ἢ νότος. τὰ δὲ κεκρυμμένα φαίνει,
βυσσόθεν. ἐκ δ᾽ ἀνδρῶν πάντ᾽ ἐτίναξε νόον.

Σοφοκλέους.

Τί ταῦτ᾽ ἐπαινεῖς. πᾶς γὰρ οἰνωθεὶς ἀνὴρ
ἥσσον μὲν ὀργῆς ἐστὶ τοῦ δὲ νοῦ κενός.
φιλεῖ δὲ πολλὴν γλῶσσαν ἐκχέας μάτην,
ἄκων ἀκούειν, οὓς ἑκὼν εἶπεν κακῶς.

Πανυάσιδος.

Ξεῖν᾽ ἄγε δὴ καὶ πῖν᾽ ἀρετὴ νύτις ἐστὶ καὶ αὐτή.
ὃκ ἀνδρῶν πολὺ πλεῖστον ἐν εἰλαπίνῃ μέθυ πίνῃ.

εὖ καὶ

εὖ καὶ ἐπισταμένως ἅμα τ' ἄλλον φῶτα κελεύει.
ἶσον τ' ὃς ἐν δαιτὶ καὶ ἐν πολέμῳ θοὸς ἀνὴρ
ὑσμίνας διέπων ταλαπενθέας, ἔνθά τε παῦροι
θαρσαλέοι τελέθουσι, μένουσί τε θοῦρον ἄρηα.
τὸν μὲν ἐγὼ θείμην ἶσον κλέος, ὅς τ' ἐνὶ δαιτὶ
τέρπεται παρεὼν, ἅμα τ' ἄλλον λαὸν ἀνώγει.
οὐ γάρ μοι ζώειν γε δοκεῖ βροτὸς οὐδὲ βιῶναι,
ἀνθρώπειον βίον ταλασίφρονος, ὅς τις ἀπ' οἴνου
θυμὸν ἐρητύσας πίνει ὕδωρ ἀλλονεόφρων.
οἶνος γὰρ πυρὶ ἶσον ἐπιχθονίοισιν ὄνειαρ.
ἐσθλόν. ἀλεξίκακον. πάσης συνοπηδὸν ἀοιδῆς.
ἐν μὲν γὰρ θαλίης ἱερὸν μέρος ἀγλαΐης τε
ἐν δὲ χοροιτυπίης, ἐν δ' ἱμερτῆς φιλότητος,
ἐν δέ τε μὲν θήρης καὶ δυσφροσύνης ἀλεγεινῆς.
τῷ σε χρὴ παρὰ δαιτὶ δεδεγμένον εὔφρονι θυμῷ,
πίνειν. μὴ δὲ βορῆ κεκαρωμένον ἠΰτε γῦπα,
ἧσθαι πλημμύροντα λελασμένον εὐφροσυνάων.

Δημονίκου.

Ὑγιείην εὐχαῖς παρὰ θεῶν αἰτέονται ἄνθρωποι. τὴν δὲ ταύτης δύναμιν ἐν ἑαυτοῖς ἔχοντες οὐκ ἴσασιν. ἀκρασίῃ δὲ τἀναντία πρήσσοντες, αὐτοὶ προδόται τῆς ὑγιείης τῇσιν ἐπιθυμίῃσι γίγνονται.

Πλουτάρχου.

Ἀμαθίην ὥς φησιν ἡράκλειτος καὶ ἄλλως κρύπτειν ἔργον ἐστίν. ἐν οἴνῳ δὲ χαλεπώτερον. καὶ πλάτων δὲ
φησὶν

φησιν ἐν οἴνῳ ἤθη φανερὰ γίνεσθαι.

Πλάτων.

Οὐ μόνον ὡς ἔοικεν ὁ γέρων δὶς παῖς γένοιτ' ἄν, ἀλλὰ καὶ ὁ μεθυσθείς.

ΠΕΡΙ ΑΛΗΘΕΙΑΣ.

Εὐριπίδου.

Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ.
Κοὐ ποικίλων δεῖ τ' ἀνδίχ' ἑρμηνευμάτων.
ἔχει γὰρ αὐτὰ καιρόν. ὁ δ' ἄδικος λόγος
νοσῶν ἐν αὑτῷ φαρμάκων δεῖται σοφῶν.

Πινδάρου.

Αρχᾶς μεγάλας ἀρετᾶς ὤνασσ' ἀλήθεια
μὴ πταίσῃς ἐμὰν σύνθεσιν τραχεῖ ποτὶ ψεύδει.

Μενάνδρου.

Αεὶ κράτιστόν ἐστι τἀληθῆ λέγειν.
ἐν παντὶ καιρῷ, τοῦτ' ἐγὼ παρεγγυῶ
εἰς ἀσφάλειαν τῷ βίῳ πλεῖστον μέρος.

Πλάτωνος.

Αλήθεια πάντων μὲν ἀγαθῶν θεοῖς ἡγεῖται. πάντων δὲ ἀνθρώποις. ἧς ὁ γενήσεσθαι μέλλων μακάριός τε καὶ εὐδαίμων ἐξ ἀρχῆς εὐθὺς μέτοχος εἴη. ἵνα ὅτι πλεῖστον χρόνον ἀληθὴς ὢν διαβιοῖ. ὁ δὲ ἄπιστος, ᾧ φίλον, ψεῦδος.

Πυθαγόρας ἐρωτηθεὶς τί ποιοῦσιν ἄνθρωποι θεῷ ὅμοιοι, ἔφη

ον, ἔφη, ἐὰν ἀληθεύωσιν.

Εὐσεβίου.

Ἀληθείην νόος ἀσπάζεται, καὶ αἰεὶ αὐτῇ συνοικέει. ἢν δὲ ἔν τισι ἑωυτοῦ ἀψευδέστατος, ὅμως οὐκ ἔστιν ὅτε καὶ ψεῦδος ἀγαθῷ ἰητρείας, παρέχεται ἐπ' ὠφελείῃ ἀνθρώπων τῶν τούτου χρηζόντων, καὶ ὥσπερ χρηστῶν τῶν σφετέρων παραλογισθησομένων πρὸς αὐτοῦ. τότε γὰρ δὴ μοῦνον, καὶ οὔκοτε ἄλλοτε νόος, καὶ ἐν καιρῷ τῶν αὐτοῦ οἶδε, πάντα τἄλλα ψεύδεα ἀποστυγέων, ψεῦδος τὸ τοιοῦτον εἰσφορέεται, ἀπὸ τοῦ τῶν λοιπῶν ἁπάντων ψευδέων φύσιος, εἰς ἄλλο εἶδος μεταμειφθὲν χρησιμώτατον, τέχνῃ καὶ σοφίῃ αὐτοῦ τοῦ νόου, τοῦ φαῦλον πρῆγμα ἐς ἐσθλὸν μετακοσμήσαντος.

Ψεύδεσθαι ἀνελεύθερον, ἀλήθεια γενναῖον.

Ἀλήθεια παρέστω σοὶ καὶ ἐμοὶ πάντων χρῆμα δικαιότατον.

Ὀλυμπιοδώρου.

Ἀλήθεια θεῶν ὁμόπολις, μόνη θεοῖς συνδιαιτωμένη.

Βακχυλίδου ἐκ τῶν ὀρχημάτων.

Λυδία μὲν γὰρ λίθος, μανύει χρυσόν. ἀνδρῶν δ' ἀρετὰν σοφία τε παγκρατὴς τελέθει ἀλήθεια.

Πλουτάρχου.

Ἄμεινον τῇ ἀληθείᾳ συγχωρήσαντα τὴν δόξαν νικᾶν, ἢ τῇ δόξῃ συγχωρήσαντα πρὸς τῆς ἀληθείας ἡττᾶσθαι.

ΠΕΡΙ ΑΝΕΞΙΚΑΚΙΑΣ.

Φιλήμονος.

Ἥδιον οὐδὲν, οὐδὲ μουσικώτερον
ἐστὶ, δύνασθαι λοιδορούμενον φέρειν.
ὁ λοιδορῶν γὰρ ἂν ὁ λοιδορούμενος
μὴ προσποιῆται, λοιδορεῖται ὁ λοιδορῶν.

Εὐριπίδου.

Δυοῖν λεγόντοιν θατέρου θυμουμένου,
ὁ μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος.

Θεόγνιδος.

Οὐ δύναμαί σοι θυμὲ παρέχειν ἄρμενα πάντα.
τέτλαθι. τῶν δὲ καλῶν οὐχὶ σὺ μόνος ὁρᾶς.

Πυθαγόρου.

Μεγάλην παιδείαν νόμιζε, δι' ἧς δυνήσῃ φέρειν ἀπαιδευσίαν.

Δημοσθένης λοιδορουμένου τινὸς αὐτὸν, οὐ συγκαταβαίνω εἶπεν εἰς ἀγῶνα ἐν ᾧ ὁ ἡττώμενος τοῦ νικῶντος ἐστὶ κρείττων.

Πλάτων λοιδορούμενος ὑπό τινος. λέγε ἔφη κακῶς, ἐπεὶ καλῶς οὐκ ἔμαθες.

Ἀρίστιππος λοιδοροῦντος αὐτὸν τινὸς ἔφη. τοῦ μὲν λέγειν κακῶς, σὺ κύριος εἶ. τοῦ δὲ δικαίως ἀκούειν ἐγώ.

Εὐσεβίου.

Ὀργῆς κρατεῖν ἄριστον ἐθίζειν ἑαυτόν. μάλιστα μὲν

καὶ πρὸς

καὶ πρὸς τὸ μὴ ἐμπετῶς πρὸς αὐτὴν συγκινεῖσθαι. εἰ δὲ μή, ἀλλ' ὥς τε γε πάντως μὴ τὸ καταναγκαζόμενον ὑπ' αὐτῆς αὐτίκα ἔργον ὡς ἀλογίστως ἀποπιμπλάναι. Δίωνι τῷ ἀκαδημαικῷ ἀπὸ συμποσίου ἀναστρέφοντι παρεπόμενος κακῶς τις ἔλεγεν, καὶ βλασφημίας οὐδὲν ἀπελίμπανεν, ὁ δ' ἡσύχως εἶχεν. ὡς δὲ καὶ ἐπὶ τὴν οἰκίαν ἦλθεν, μέλλοντι αὐτῷ εἰσιέναι, ὁ λοιδορῶν τί δαὶ ἔφη. πρὸς ὃν εἶπεν ὁ Δίων οὐδὲ γρύ.

ΠΕΡΙ ΑΦΡΟΣΥΝΗΣ.

Σοφοκλέους.

ΑΛΛ' οἱ κακῶς πράσσοντες οὐ κωφοὶ μόνον,
ἀλλ' οὐδ' ὁρῶντες εἰσορῶσι τἀμφανῆ.

Εὐριπίδου.

Τὸ μηδ' εἰδέναι μηδὲν ὧν ἁμαρτάνεις
ἔκκαυμα τόλμης ἱκανόν ἐστι καὶ θράσους.

Ἡσιόδου.

Αφρων δ' ὅς κ' ἐθέλῃ πρὸς κρείσσονας ἀντιφερίζειν,
νίκης τε στέρεται. πρὸς τ' αἴσχεσιν ἄλγεα πάσχει.

Μενάνδρου.

Οὐδεὶς συνοιδεν ἐξαμαρτάνων πόσον
ἁμαρτάνει τὸ μέγεθος. ὕστερον δ' ὁρᾷ.

Θεόγνιδος.

Ος τις τοι δοκέει τὸν πλησίον ἔμμεναι οὐδὲν
ἀλλ' αὐτὸς μοῦνος ποικίλα δήνε' ἔχειν.

κεῖνος γ' ἄφρων ἐστὶ νοῦ βεβλαμμένος ἐσθλοῦ.
ἴσως γὰρ πάντες ποικίλ' ἐπιστάμεθα.
ἀλλ' ὁ μὲν οὐκ ἐθέλει κακοκερδίοισιν ἕπεσθαι.
τῷ δὲ δολοπλοκίαι μᾶλλον ἔτ' εἰσὶ φίλαι.

Μενάνδρου.

Εὐηθία μοι φαίνεται δηλουμένη.
τὸ νοεῖν μὲν ὅσα δεῖ. μὴ φυλάττεσθαι δ' ἃ δεῖ.

Τοῦ αὐτοῦ.

Μικρὰ πρόφασίς ἐστι τοῦ πρᾶξαι κακῶς.

Τοῦ αὐτοῦ.

Ανοια θνητοῖς δυστύχημ' αὐθαίρετον.

Σοφοκλέους.

Ως δυσπέλαστον ἀμαθία κακόν,
τί σαυτὸν ἀδικῶν τὴν ψυχὴν καταιτιᾷ.

Χαιρήμονος.

Πεὶν γὰρ φρονεῖν σε, καταφρονεῖν ἐπίστασαι.

Σαπφοῦς

Πρὸς ἀπαίδευτον γυναῖκα κατθανοῖσα δὲ κείσεαι.
οὐδέ ποτε μναμοσύνα σέθεν ἔσσετ' οὐδέποκ' ὕστερον.
οὐ γὰρ μετέχεις ῥόδων τῶν ἐκ πιερίας. ἀλλ' ἀφανὴς κἠν ἀΐδα·
δωμοφοίτασις παῖδ' ἀμαυρῶν νεκύων ἐκπεποταμένα.

Εὐπόλιδος.

Αλλ' ἀκούετ' ὦ θεαταὶ τἀμὰ καὶ ξυνίετε
χρήματ' εὐθὺ γὰρ πρὸς ὑμᾶς πρῶτον ἀπολογήσομαι.
ὅτι μαθόντες τοὺς ξένους μὲν λέγεται ποιητὰς σοφούς.
ἢν δέ τις τῶν ἐνθάδ' αὐτοῦ μὴ δὲ ἓν χεῖρον φρονῶν
ἐπιθῆται

ὑπλθῆται τῇ κρίσει, πάνυ δοκεῖ κακῶς φρονεῖν.
μαίνεταί τι καὶ παραρρεῖ τῶν φρενῶν ὑπὸ σοῦ λόγου.
ἀλλ' ἐμοὶ πείθεσθε πάντως μεταβαλόντες τοὺς τρόπους
μὴ φθονῆθ' ὅταν τις ὑμῶν μουσικῇ χαίρῃ νέων.

Ἀῤῥιανοῦ.

Ἦ ἄρα δὴ μάλα πάντες ἁμαρτίνοοι πελόμεσθα
ἄνθρωποι. φέρομεν δὲ θεῶν ἑτερόῤῥοπα δῶρα
ἀφραδέῃ κραδίῃ. βιότοιο μὲν ὅς κ' ἐπιδευὴς
στρέφεται. μακάρεσσι δ' ἐπὶ ψόγον αἰνὸν ἰάπτει.
ἀχνύμενος. σφετέρην δ' ἀρετὴν καὶ θυμὸν ἀτίζει.
οὐδέ τι θαρσαλέως νοέειν ἔπος οὐδέ τι ῥέξαι
ἐῤῥιγὼς ὅθι τ' ἄνδρες ἐχεκτέανοι παρέωσιν.
καὶ οἱ θυμὸν ἔδουσι κατηφείη καὶ ὀϊζύς.
ὃς δέ κεν εὐοχθήσῃ θεὸς δ' ἐπὶ ὄλβον ὀπάζει
καὶ πολυκοιρανίην, ἐπιλήθεται οὕνεκα γαίαν
ποσὶν ἐπιστείβει, θνητοὶ δέ οἱ εἰσὶ τοκῆες.
ἀλλ' ὑπεροπλίῃ τε καὶ ἀμαρτωλῇσι νόοιο
ἶσα διὶ βρομέει. κεφαλὴν δ' ὑπὲρ αὐχένας ἴσχει.
καί περ ἐὼν ὀλίγος. μνᾶται δ' εὐπήχυν ἀθήνην.
ἠέ τιν' ἀτραπιτὸν τεκμαίρεται οὔλυμπον δὲ
ὥς κε μετ' ἀθανάτοισιν ἀρίθμιος εἰλαπινάζει.
ἡ δ' ἄτη ἁπαλοῖσι μετατρωχῶσα πόδεσσιν,
ἄκρῃς ἐν κεφαλῇσιν ἀνώϊστος καὶ ἄφαντος,
ἄλλοτε μὲν γραίῃσι νεωτέρη, ἄλλοτε δ' αὖτε
ὁπλοτέρῃσι γρηῢς ἐφίσταται ἀμπλακίῃσι.
Ζηνὶ θεῶν κρείοντι. δίκῃ δ' ἐπίηρα φέρουσα.

Μενάνδρου.

Ὁ μὴ φέρων γὰρ εὖ τι τῶν ἐν τῷ βίῳ
ἀγαθῶν, ἀλόγιστός ἐστιν οὐ μακάριος.

Τοῦ αὐτοῦ.

Οὐκ ἔστ' ἀνοίας ὡς ἐμοὶ δοκεῖ τολμηρότερον.

Παροιμία.

Ὄνος λύρας ἤκουε, καὶ σάλπιγγος ὗς.

Δημοσθένης ὁ ῥήτωρ θεασάμενός τινα δημαγωγὸν ἀφυῆ μέγα βοῶντα ἔφη· ἀλλ' οὐ τὸ μέγα εὖ ἐστί, τὸ δὲ εὖ μέγα.

Βίων ἔλεγε τοὺς γραμματικοὺς ζητοῦντας περὶ τῆς ὀδυσέως πλάνης, μὴ ἐξετάζειν τὴν ἰδίαν. μὴ δὲ καθορᾶν, ὅτι καὶ ἐν ταυτῷ τούτῳ πλανῶνται πονοῦντες περὶ τὰ μηδὲν χρήσιμα.

Ὁ μὲν δειλὸς τῆς πατρίδος, ὁ δὲ φιλόδοξος, τῆς πατρῴας οὐσίας ἐστὶ προδότης.

Ἐν μὲν ταῖς μέθαις παροινοῦσιν, ἐν δὲ ταῖς ἀτυχίαις, παρανοοῦσιν οἱ ἀνόητοι.

Τοῖς ἄφροσιν, ὥσπερ τοῖς παιδίοις μικρὰ πρόφασις εἰς τὸ κλαίειν ἱκανή.

Οἱ μὲν ξένοι ἐν ταῖς ὁδοῖς, οἱ δὲ ἀπαίδευτοι ἐν τοῖς πράγμασι πλανῶνται.

Ταυτόν ἐστιν ἀρρωστοῦντι φορτίον ἐπιθέσθαι, καὶ ἀπαιδεύτοις εὐτυχίαν.

Λήθη τῶν ἰδίων κακῶν θρασύτητα γεννᾷ.

Ἀνοήμονες βιοῦσιν οὐ τερπόμενοι βιοτῇ.

Δόξα

Δόξα καὶ πλοῦτος ἄνευ ξυνέσιος, οὐκ ἀσφαλέα κτήματα.
Σωκράτης ἰδὼν μειράκιον πλούσιον δὲ ἀπαίδευτον, ἰδοὺ φησὶ χρυσοῦν ἀνδράποδον.
Βίων ἐρωτηθεὶς τί ἐστιν ἄνοια, ἔφη. προκοπῆς ἐμπόδιον.

ΠΕΡΙ ΑΠΟΡΡΗΤΩΝ.

Εὐριπίδου.

ΙΣΤΩ δὲ μηδεὶς ταῦθ' ἃ σιγᾶσθαι χρεών.
μικροῦ γὰρ ἐκ λαμπτῆρος ἰδαῖον λέπας
πλήσειεν αὖτις. κἂν πρὸς ἕνα εἴποις ποτὲ
πύθοιντ' ἂν ἀστοὶ πάντες, ἃ κρύπτειν χρεών.

Τοῦ αὐτοῦ.

Ἐκμαρτυρεῖν γὰρ ἄνδρα τὰς αὐτοῦ τύχας
εἰς πάντας, ἀμαθές. τὸ δὲ κρύπτεσθαι σοφόν.

Σοφοκλέους.

Μή μοι κρυφαῖον μηδὲν ἐξείποις ἔπος.
κλεῖθρον γὰρ οὐδέν. ὡς δ' ἂν ἐκπετὲς λάβοις
γλώσσης κρυφαῖον οὐδὲν οὐ διέρχεται.

Τοῦ αὐτοῦ.

Μὴ πάντ' ἐρεύνα, πολλὰ καὶ λαλεῖν καλόν.
Σωκράτης ἔλεγεν ὅτι ῥᾷον ἄν τις διάπυρον ἄνθρακα ἐπὶ τῆς γλώττης κατάσχοι, ἢ λόγον ἀπόρρητον.
Εὐριπίδης ὀνειδίζοντος αὐτῷ τινὸς ὅτι τὸ στόμα δυ-

σῶδες

σῶδον ἦν, πολλὰ γὰρ εἰπὼν αὐτῷ ἀπόρρητα ἐγκατεσάπη.

Ἀριστοτέλης ἐρωτηθεὶς τί δυσκολώτατον ἐν τῷ βίῳ, εἶπε. τὸ σιωπᾶν ἃ μὴ δεῖ λαλεῖν.

Πυθαγόρου.

Ἀείσω συνετοῖς, θύρας δ' ἐπίθεσθε βέβηλοι.

Ισοκράτους.

Μᾶλλον τήρει τὰς τῶν λόγων, ἢ τὰς τῶν χρημάτων παρακαταθήκας. δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας, τρόπον ὅρκου πιστότερον φαίνεσθαι παρεχομένους.

Χάρης τοὺς ἀπόρρητον λόγον ἐκφέροντας, ἀδικεῖν ὤετο καὶ πρὸς οὓς ἐκφέρουσι. μισοῦμεν γὰρ οὐ μόνον τοὺς ἐκλαλήσαντας, ἀλλὰ καὶ τοὺς ἀκούσαντας ἃ μὴ βουλόμεθα.

ΠΕΡΙ ΑΣΩΤΙΑΣ.

Μενάνδρου.

Τοὺς τὸν ἴδιον δαπανῶντας ἀλογίστως βίον.
τὸ καλῶς ἀκούειν, ταχὺ ποιεῖ πᾶσι κακῶς.

Πυθαγόρου.

Μὴ δαπανᾶν παρὰ καιρὸν ἀπειροκάλως ἐνὶ ἡμῶν.
μὴ δ' ἀνελεύθερος ἴσθι. μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.

Εὔφρονος διδύμων.

Ὁ γὰρ τὸν ἴδιον οἰκονομῶν κακῶς βίον, πῶς οὗτος ἂν σώσειε τῶν ἔξω τινά.

Διεί-

Διφίλου.

Ἔργον συναγαγεῖν σωρὸν ἐν πολλῷ χρόνῳ. ἐν ἡμέρᾳ δὲ διαφορῆσαι ῥᾴδιον.

Σωκράτης ἰδὼν τινὰ προχείρως πᾶσι χαριζόμενον, καὶ ἀνεξετάστως ὑπηρετούμενον, κακῶς εἶπεν ἀπόλοιο. ὅτι τὰς χάριτας παρθένους οὔσας, πόρνας πεποίηκας.

Διογένης ἄσωτον ᾔτει μνᾶν. τοῦ δὲ εἰπόντος διὰ τί τοὺς ἄλλους τριόβολα ἐμὲ δὲ μνᾶν ζητεῖς, ἔφη. παρὰ μὲν τῶν ἄλλων ἐλπίζω πάλιν. παρὰ δὲ σοῦ, οὐκέτι.

Κράτης τὰ τῶν πλουσίων καὶ ἀσώτων χρήματα, ταῖς ἐπὶ τῶν κρημνῶν συκαῖς εἴκαζεν. ἀφ' ὧν ἄνθρωπον μηδὲν λαμβάνειν. κόρακας δὲ καὶ ἰκτίνους. ὥσπερ παρὰ τούτων ἑταίρας καὶ κόλακας.

Ζήνων πρὸς τοὺς ἀπολογουμένους ὑπὲρ τῆς αὐτῶν ἀσωτίας, καὶ λέγοντας ἐκ πολλοῦ τοῦ περιόντος ἀναλίσκειν, ἔλεγεν. ἦπου καὶ τοῖς μαγείροις συγγνώσεσθε ἐὰν ἁλμυρὰ λέγωσι πεποιηκέναι τὰ ὄψα ὅτι πλῆθος ἁλῶν αὐτοῖς ὑπῆρχεν.

Ξενοφῶντος.

Οὐ γὰρ τὸ μὴ λαβεῖν τὰ ἀγαθὰ οὕτω χαλεπόν, ὡς τὸ λαβόντα στερηθῆναι.

Δημοσθένους.

Τῶν γὰρ ἀνθρώπων οἱ πλεῖστοι κτῶνται μὲν τἀγαθὰ, ἐκ τοῦ καλῶς βουλεύεσθαι, καὶ μηδενὸς καταφρονεῖν. φυλάττειν δ' οὐκ ἐθέλουσι τοῖς αὐτοῖς τούτοις.

ΠΕΡΙ ΑΦΡΟΔΙΤΗΣ, καὶ ἔρωτος.

Εὐριπίδου.

Η δ' ἀφροδίτη πόλλ' ἔνεστι ποικίλα.
τέρπει τε γὰρ μάλιστα καὶ λυπεῖ βροτούς.
τύχοιμι δ' αὐτῆς ἡνίκ' ἐστὶν εὐμενής.

Τοῦ αὐτοῦ.

Οἱ γὰρ Κύπριν φεύγοντες ἀνθρώπων ἄγαν,
νοσοῦσ' ὁμοίως τοῖς διώκουσιν ἄγαν.

Τοῦ αὐτοῦ.

Κύπρις γὰρ οὐ φορητὸν ἢν πολλὴ ῥυῇ.
ἣ τὸν μὲν εἴκονθ' ἡσυχῇ μετέρχεται,
ὃν δ' ἂν περισσὰ καὶ φρονοῦνθ' εὕρῃ μέγα
τοῦτον λαβοῦσα, οὕτω πῶς καθύβρισεν.

Σοφοκλέους.

Ὦ παῖδες ἤτοι Κύπρις οὐ Κύπρις μόνον,
ἀλλ' ἐστὶ πάντων ὀνομάτων ἐπώνυμος.
ἐστὶ μὲν ᾅδης. ἐστὶ δ' ἄφθιτος βία.
ἐστὶ δὲ λύσσα μανιάς. ἐστὶ δ' ἵμερος.
ἄκρατος ἐς οἰμωγμός. ἐν κείνῃ τὸ πᾶν.
σπουδαῖον. ἡσύχαιον. εἰς βίαν ἄγον.
ἐντήκεται γὰρ πλευμόνων ὅσοις ἔνι
ψυχή, τίς οὐ τῆσδε τῆς θεοῦ βορός;
εἰσέρχεται μὲν ἰχθύων πλωτῶν γένει.
ἔνεστι δ' ἐν χέρσου τετρασκελεῖ γονῇ.

νωμᾷ δ' ἐν οἰωνοῖσι τοὐκείνης πτερόν.
ἐν θηρσίν. ἐν βροτοῖσιν. ἐν θεοῖς ἄνω.
τίν' οὐ παλαίουσ' ἐς τρὶς ἐκβάλλει θεῶν.
εἴ μοι θέμις· θέμις δὲ τἀληθῆ λέγειν·
Διὸς τυραννεῖ πλευμόνων ἄνευ δορός.
ἄνευ σιδήρου πάντα τοι συντέμνεται·
Κύπρις τὰ θνητῶν καὶ θεῶν βουλεύματα.

Ἐκ τῶν βίωνος βουκολικῶν.

Ταὶ μοῖσαι τὸν ἔρωτα τὸν ἄγριον ἢ φοβέονται
ἢ 'κ θυμῶ φιλέοντι, καὶ ἐκ ποδὸς αὐτῷ ἕπονται.
κἢν μὲν ἄρα ψυχάν τις ἔχων ἀνέραστον δὴ δὴ
τῆνον ὑπεκφεύγοντι, καὶ οὐκ ἐθέλοντι διδάσκειν.
ἢν δὲ νόον τις ἔρωτι δονεύμενος ἁδὺ μελίσδοι
ἐς τῆνον μάλα πᾶσαι ἐπειγόμεναι προρέοντι.
μάρτυς ἐγὼν ὅτι μῦθος ὅδ' ἔπλετο πᾶσιν ἀληθής.
ἢν μὲν γὰρ βροτὸν ἄλλον ἢ ἀθανάτων τινὰ μέλπω,
καμβαίνει μευ γλῶσσα καὶ ὡς πάρος οὐκ ἔτ' ἀείδει.
ἢν δ' αὖτ' ἐς τὸν ἔρωτα καὶ ἐς λυκίδαν τι μελίσδω,
καὶ τόκα μοι χαίροισα διὰ στόματος ῥέει ᾠδά.

Ἀριστάρχου.

Ἔρωτος ὅς τις μὴ πεπείραται βροτῶν
οὐκ οἶδ' ἀνάγκης θεσμόν, ᾧ πεισθεὶς
ἐγὼ οὕτω κρατηθεὶς τὰς δ' ὑπεσταλμένω ὁδούς.
οὗτος γὰρ ὁ θεὸς καὶ τὸν ἀσθενῆ σθένειν
τίθησι, καὶ τὸν ἄπορον εὑρίσκειν μέγαν.

Εὐριπίδου.

Ἔρωτα δ' ὅς τις μὴ θεὸν κρίνει μέγαν,
καὶ τῶν ἁπάντων δαιμόνων ὑπέρτατον,
ἢ σκαιός ἐστιν, ἢ καλῶν ἄπειρος ὢν
οὐκ οἶδε τὸν μέγιστον ἀνθρώποις θεόν.

Ἀντιφάνους.

Εἴ τις φησὶ τοὺς ἐρῶντας οὐχὶ νοῦν ἔχειν,
ἦπου τίς ἐστι τοὺς τρόπους ἀβέλτερος.
εἰ γὰρ ἀφέλοι τις τοῦ βίου τὰς ἡδονάς,
καταλείποιτ' οὐδὲν ἕτερον ἢ τεθνηκέναι.

Ἀλέξιδος.

Οὐκ ἔστι παιδαγωγὸς ἀνθρώποις ἄρα
ἔρωτος οὐδεὶς ἄλλος ἐπιμελέστερος.
εἴτ' οὖν μέγιστος ἐστὶ τῶν θεῶν ἔρως
καὶ τιμιώτατός γε τῶν πάντων πολύ.
οὐδεὶς γὰρ οὕτως ἐστὶ φειδωλὸς σφόδρα
ἄνθρωπος. οὐδ' οὕτως ἀκριβὴς τοὺς τρόπους
ὃς οὐχὶ τούτῳ μοιρίδια τῷ θεῷ νέμει.

Μιμνέρμου.

Τίς δὲ βίος, τί δὲ τερπνὸν ἄτερ χρυσῆς ἀφροδίτης.
τεθναίην ὅτε μοι μηκέτι ταῦτα μέλοι.

Θεοκρίτου.

Ἔστι καὶ ἐν κενεοῖσι φιλάμασιν ἁδέα τέρψις.

Δικαιογένους.

Ὅταν δ' ἔρωτος ἐνδεθῶμεν ἄρκυσι
θᾶσσον θυραίοις τὴν χάριν τιθέμεθα,

ἢ τοῖς

ἢ τοῖς ἀνάγκης ἐν γένει πεφυκόσι.

Εὐριπίδου.

Ἔχω δὲ τόλμης καὶ θράσους διδάσκαλον
ἐν τοῖς ἀμηχάνοισιν εὐπορώτατον,
ἔρωτα πάντων δυσμαχώτατον θεόν.

Τοῦ αὐτοῦ.

Ἔρως γὰρ ἄνδρας οὐ μόνους ἐπέρχεται
οὐδ' αὖ γυναῖκας. ἀλλὰ καὶ θεῶν ἄνω
ψυχὰς χαράσσει, κἀπὶ πόντον ἔρχεται.
καὶ τόνδ' ἀπείργειν οὐδ' ὁ παγκρατὴς σθένει
ζεύς. ἀλλ' ὑπείκει, καὶ θέλων ἐγκλίνεται.

Ἐκ τῶν Βίωνος βουκολικῶν.

Ἁ μεγάλα μοι κύπρις ἔθ' ὑπνώοντι παρέστα,
νηπίαχον τὸν ἔρωτα καλᾶς ἐκ χειρὸς ἄγοισα.
ἐς χθόνα νεῦσάζοντα, τόσον δέ μοι ἔφρασε μῦθον.
μέλπειν μοι φίλε βοῦτα λαβὼν τὸν ἔρωτα δίδασκε.
ὣς λέγε. χ' ἁ μὲν ἀπήλυθεν. ἐγὼ δ' ὅσα βουκολίασδον
νήπιος ὡς ἐθέλοντα μαθεῖν τὸν ἔρωτα δίδασκον.
ὡς εὗρε πλαγίαυλον ὁ πὰν, ὡς αὐλὸν ἀθάνα,
ὡς χέλυν ἑρμάων, κίθαριν ὡς ἁδὺς ἀπόλλων.
ταῦτα μὲν ἐξεδίδασκον. ὁ δ' οὐκ ἐμπάζετο μύθων.
ἀλλά μοι αὐτὸς ἄειδεν ἐρωτύλα, καὶ μ' ἐδίδασκεν
θνατῶν ἀθανάτων τε πόθους καὶ ματρὸς ἔργα.
κἀγὼ ἐκλαθόμαν μὲν ὅσων τὸν ἔρωτ' ἐδίδασκον.
ὅσσα δ' ἔρως μ' ἐδίδαξεν ἐρωτύλα πάντ' ἐδιδάχθην.

Τοῦ αὐτοῦ.

Ἕσπερε τᾶς. ἐρατᾶς χρύσεον φάος ἀφρογενείας,
ἕσπερε κυανέας ἱερὸν φίλε νυκτὸς ἄγαλμα,
τόσον ἀφαυρότερον μήνας, ὅσον ἔξοχος ἀστρῶν,
χαῖρε φίλος, καί μοι ποτὶ ποιμένα κῶμον ἄγοντι,
ἀντὶ σεληναίας τὺ δίδου φάος. ὥνεκα τήνα
σάμερον ἀρχομένα τάχιον δύεν. οὐκ ἐπὶ φωρὰν
ἔρχομαι. οὐδ' ἵνα νυκτὸς ὁδοιπορέοντ' ἐνοχλέω.
ἀλλ' ἐράω. καλὸν δέ τ' ἐρασαμένω συνερᾶσθαι.

Μόσχου σικελοῦ.

Ἤρα πᾶν ἀχῶς τᾶς γείτονος. ἠρᾶτο δ' ἀχὼ
σκιρτητᾶ σατύρω. σάτυρος δ' ἐπεμήνατο λύδαν.
ὡς ἀχὼς τὸν πᾶνα, τόσον σάτυρος φλέγεν ἀχώ.
καὶ λύδα σατυρίσκον. ἔρως δ' ἐσμύχετ' ἀμοιβᾷ.
ὅσον γὰρ τήνων τις ἐμίσεε τὸν φιλέοντα
τόσον ὁμῶς φιλέων ἐχθαίρετο πάσχε δ' ἃ ποίει.
ταῦτα λέγω πᾶσι τὰ διδάγματα τοῖς ἀνεράστοις.
στέργετε τοὺς φιλέοντας ἵν' ἢν φιλέητε φιλῆσθε.

Σοφοκλέους.

Ἔρωτος γὰρ νόσημα τοῦτ' ἐφίμερον κακὸν
ἔχοιμ' ἂν αὐτὸ μὴ κακῶς ἀπεικάσαι.
ὅταν πάγου φανέντος αἰθρίου χεροῖν
κρύσταλλον ἁρπάσωσι παιδιαῖς ἄγη.
τὰ πρῶτ' ἔχουσιν ἡδονὰς ποτ' αἰνίους
τέλος δ' ὁ χυμὸς οὐδ' ὅπως ἀφῇ θέλει.

οὔτ' ἐν

οὔτ' ἐν χεροῖν τὸ κτῆμα σύμφορον μένειν.
ὅτε τοὺς ἐρῶντας αὐτὸς ἵμερος δρᾶν.
καὶ τὸ μὴ δρᾶν πολλάκις ποιεῖται.

Κλεινίου.

Μή τις τιμάτω θνητῶν πολύδακρυν ἔρωτα.
μὴ δὲ πόθον παίδων. μὴ δ' ἱμερτὴν φιλότητα.
τάων ἰότηλε μοιρῶν κατέβη πολύκλαυστον ἐς ἅδην.

Μενάνδρου.

Ὅταν δ' ἐρῶντος τόλμαν ἀφέλης, οἴχεται.
εἰς τοὺς ἰαλέμους τε τοῦτον ἔγγραφε.

Θεοκρίτου.

Νῦν ἔγνων τὸν ἔρωτα. βαρὺς θεός. ἦ ῥα λεαίνης
μαστὸν ἐθήλαξεν. δρυμῷ τέ νιν ἔτραφε ματήρ.
ὅς με κατασμύχων καὶ ὀστέων ἄχρις ἰάπτει.

ΨΟΓΟΣ ΑΦΡΟΔΙΤΗΣ,
καὶ ὅτι φαῦλος ὁ ἔρως.

Μενάνδρου.

Φύσει γὰρ ἔστ' ἔρως τοῦ νουθετοῦντος κωφόν.
ἅμα δ' οὐ ῥᾴδιόν ἐστι νεότητα νικᾶν καὶ θεὸν λόγῳ.

Τοῦ αὐτοῦ.

Τὸ δ' ἐρᾶν ἐπισκοτεῖ ὡς ἔοικεν,
καὶ τοῖς εὐλόγως καὶ τοῖς καλῶς ἔχουσιν.

Τοῦ αὐτοῦ.

Μόνον ἐστ' ἀπαρηγόρητον ἀνθρώποις ἔρως.

Εὐριπί-

Εὐριπίδου.

Ἔρως γὰρ ἀργὸν κἀπὶ τοῖς ἔργοις ἔφυ.
φιλεῖ κάτοπτρα καὶ κόμης ξανθίσματα.
φεύγει δὲ μόχθους. ἓν δέ μοι τεκμήριον.
οὐδεὶς προσαιτῶν βίοτον ἠράσθη βροτῶν.
ἐν τοῖς δ' ἔχουσιν ἡβητὴς πέφυχ' ὅδε.

Τοῦ αὐτοῦ.

Σὺ δ' ὦ κράτιστε πάντων θεῶν τε κἀνθρώπων,
ἢ μὴ δίδασκε τὰ καλὰ φαίνεσθαι καλά,
ἢ τοῖς ἐρῶσιν εὐμενὴς παρίστασο.

Τοῦ αὐτοῦ.

Κύπρις γὰρ οὐδὲ νουθετουμένη χαλᾷ.
ἤν τ' ἂν βιάζῃ μᾶλλον ἐντείνειν φιλεῖ.
κἄπειτα τίκτει πόλεμον. εἰς δ' ἀνάστασιν
δόμων περαίνει πολλάκις τὰ τοιάδε.

Τοῦ αὐτοῦ.

Ἡ γὰρ κύπρις πέφυκε τῷ σκότῳ φίλη.
τὸ φῶς δ' ἀνάγκην προστίθησι σωφρονεῖν.

Ἀρχιλόχου.

Τοῖος γὰρ φιλότητος ἔρως ὑπὸ καρδίην ἐλυσθεὶς
πολλὴν κατ' ἀχλὺν ὀμμάτων ἔχευεν,
κλέψας ἐκ στηθέων ἁπαλὰς φρένας.

Τοῦ αὐτοῦ.

Δύστηνος ἔγκειμαι πόθῳ ἄψυχος,
χαλεπῇσι θεῶν ὀδύνῃσιν ἕκητι
πεπαρμένος δι' ὀστέων.

Φανο'

Φανοκλέους.

ἢ ὡς οἰάγροιο παῖς θρηΐκιος ὀρφεὺς
ἐκ θυμοῦ κάλαϊν στέρξε βορηϊάδην.
πολλάκι δὲ σκιεροῖς ἐν ἄλσεσιν ἕζετ᾽ ἀείδων
ὃν πόθον. οὐδ᾽ ἦν οἱ θυμὸς ἐν ἡσυχίῃ.
ἀλλ᾽ αἰεί μιν ἄγρυπνοι ὑπὸ ψυχῇ μελεδῶναι
ἔτρυχον. θαλερὸν δερκομένου κάλαϊν.
τὸν μὲν βιστονίδες κακομήχανοι ἀμφιχυθεῖσαι
ἔκτανον εὐήκη φάσγανα θηξάμεναι.
οὕνεκα πρῶτος ἔδειξεν ἐνὶ θρήκεσιν ἔρωτας
ἄῤῥενας. οὐδὲ πόθους ᾔνεσε θηλυτέρων.
τοῦ δ᾽ ἀπὸ μὲν κεφαλὴν χαλκῷ τάμον. αὐτίκα δ᾽ αὐτὴν
εἰς ἅλα θρηϊκίην ῥῖψαν ὁμοῦ χέλυϊ.
κύκλῳ καρτύνασαι, ἵν᾽ ἐμφορέοιντο θαλάσσῃ
ἄμφω ἅμα γλαυκοῖς τεγγόμεναι ῥοθίοις.
τὰς δ᾽ ἱερῇ λέσβῳ πολιὴ ἐπέκελσε θάλασσα,
ἠχὴ δ᾽ ὡς λιγυρῆς πόντον ἐπέσχε λύρης.
νήσους τ᾽ αἰγιαλοὺς ἁλιμυρέας, ἔνθα λίγειαν
ἀνέρες ὀρφείην ἐκτέρισαν κεφαλήν.
ἐν δὲ χέλυν τύμβῳ λιγυρὴν θέσαν, ἣ καὶ ἀναύδους
πέτρας, καὶ φόρκου πικρὸν ἔπειθεν ὕδωρ.
ἐκ κείνου μολπαί τε καὶ ἱμερτὴ κιθαριστὺς
νῆσον ἔχει πασέων δ᾽ ἐστὶν ἀοιδοτάτη.
θρῇκες δ᾽ ὡς ἐδάησαν ἀρήϊοι ἔργα γυναικῶν
ἄγρια, καὶ πάντας δεινὸν ἐσῆλθεν ἄχος.
ἃς ἀλόχους ἔστιζον, ἵν᾽ ἐν χροὶ σήματ᾽ ἔχουσαι

κυανέα, στυγεροῦ μὴ λελάθοιτο φόνου.
κοινὰς δ' ὀρφνῇ κταμένῳ, στίζουσι γυναῖκας
εἰσέτι νῦν κείνης ἕνεκεν ἀμπλακίης.

Ἐκ τῶν μόσχου.

Ἀλφειὸς μετὰ Πῖσαν ἐπὴν κατὰ πόντον ὁδεύῃ
ἔρχεται εἰς ἀρέθοισαν ἄγων κοτινηφόρον ὕδωρ
ἕδνα φέρων φύλλα καὶ ἄνθεα καὶ κόνιν ἱράν.
καὶ βαθὺς ἐμμαίνει τοῖς κύμασι. τὰν δὲ θάλασσαν
νέρθεν ὑποτροχάει. κοὐ μίγνυται ὕδασιν ὕδωρ.
ἁ δ' οὐκ οἶδε θάλασσα διερχομένου ποταμοῖο.
κῶρος δεινοθέτας, κακομάχανος, αἰνὰ διδάσκων,
καὶ ποταμὸν διὰ φίλτρον ἔρως ἐδίδαξε κολυμβᾶν.

Ῥαδαμάνθυος.

Ἔρωτες ἡμῖν εἰσὶ παντοῖοι βίου.
ὁ μὲν γὰρ εὐγένειαν ἱμείρει λαβεῖν.
τῷ δ' οὐχὶ τούτου φροντὶς, ἀλλὰ χρημάτων.
πολλῶν κεκλῆσθαι βούλεται πατὴρ δόμοις.
ἄλλῳ δ' ἀρέσκει μηδὲν ὑγιὲς ἐκ φρενῶν
λέγοντι πείθειν τοὺς πέλας τόλμῃ κακῇ.
οἱ δ' αἰσχρὰ κέρδη πρόσθε τοῦ καλοῦ βροτῶν
ζητοῦσιν, οὕτω βίοτος ἀνθρώπων πλάνη.

Θεοφράστου.

Ἔρως δέ ἐστιν ἀλογίστου τινὸς ἐπιθυμίας ὑπερβολή. ταχεῖαν μὲν ἔχουσα τὴν πρόσοδον. βραδεῖαν δὲ τὴν ἀπόλυσιν.

Θεόφραστος ἐρωτηθεὶς, τί ἐστιν ἔρως, πάθος ἔφη ψυ

χῆς

χῆς σχολαζούσης.

ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ.

Εὐριπίδου.

Δήμῳ δὲ μήτε πᾶν ἀναρτήσῃς κράτος.
μήτ᾽ αὖ κακώσῃς πλοῦτον ἔντιμον τιθείς.
μηδ᾽ ἄνδρα δήμῳ πιστὸν ἐκβάλλῃς ποτὲ,
μηδ᾽ αὖξε καιροῦ μεῖζον, οὐ γὰρ ἀσφαλὲς,
μή σοι τύραννος λαμπρὸς ἐξ αὐτοῦ φανῇ.
κώλυε δ᾽ ἄνδρα παρὰ δίκην τιμώμενον.
πόλει γὰρ εὐτυχοῦντες οἱ κακοὶ νόσος.

Τοῦ αὐτοῦ.

Ἀλλ᾽ οὐ πρέπει τύραννον, ὡς ἐγὼ φρονῶ,
οὐδ᾽ ἄνδρα χρηστὸν νεῖκος αἴρεσθαι κακοῖς.
τιμὴ γὰρ αὕτη τοῖσιν ἀσθενεστέροις.

Τοῦ αὐτοῦ.

Ὁ δ᾽ ἥσυχος, φίλοισί τ᾽ ἀσφαλὴς φίλος,
πόλει τ᾽ ἄριστος. μὴ τὰ κινδυνεύματα
αἰνεῖτ᾽. ἐγὼ γὰρ οὔτε ναυτίλον φιλῶ
τολμῶντα λίαν, οὔτε προστάτην χθονός.

Σοφοκλέους.

Ὡς εἴπερ ἄρξεις τῆσδε γῆς, ὥσπερ κρατεῖς,
ξὺν ἀνδράσι κάλλιον, ἢ κενῆς κρατεῖν.
ὡς οὐδέν ἐστιν οὔτε πύργος οὔτε ναῦς
ἔρημος ἀνδρῶν μὴ συνοικούντων πόλιν.

Μενάνδρου.

Καλόν γε βασιλεὺς, τῇ μὲν ἀνδρείᾳ κρατῶν,
τὰ δὲ τοῦ βίου δίκαια διατηρῶν κρίσει.

Ομήρου.

Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ᾧ λαοί τ' ἐπιτετράφαται καὶ τόσα μέμηλε.

Ησιόδου.

Καλλιόπη τ' εἴδει προφερεστάτη ἐστὶν ἁπασέων.
ἣ γὰρ βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.
ὅν τινα τιμήσουσι Διὸς κοῦραι μεγάλοιο,
γεινόμενόν τε ἴδωσι διοτρεφέων βασιλήων·
τῷ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν προχέουσιν ἀοιδὴν
τοῦ δ' ἔπε' ἐκ στόματος ῥεῖ μείλιχα. οἱ δέ νυ λαοὶ
πάντες ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας
ἰθείῃσι δίκῃσιν. ὃ δ' ἀσφαλέως ἀγορεύων
αἶψά τε καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσε.

Ομήρου.

Βουλὴν μὲν πρῶτον μεγαθύμων ἷζε γερόντων
λαῶν οἷσιν ἄνασσε, πατὴρ δ' ὣς ἤπιος ἦεν.
οὔτε τινὰ ῥέξας κακὸν ἔξοχον. οὔτε τι εἰπὼν
ἐν δήμῳ, ἥτ' ἐστὶ δίκη θείων βασιλήων.
τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες οὕνεκα ἄλλοις
βλαπτομένοις ἀγορῆφι μετάτροπα ἔργα τελοῦσι,
ῥηϊδίως μαλακοῖσι παραιφάμενοι ἐπέεσσι.

Δημοκρίτου.

Φόβος κολακείην μὲν ἐργάζεται. εὔνοιαν δὲ οὐκ ἔχει.

Μουσω-

Μουσωνίου.

Οὐ πολλὺν διάγουσι χρόνον οἱ πρὸς τοὺς ὑπηκόους ὑπὲρ ὧν ἂν πράττωσι, μὴ τὸ καθήκει μοι λέγειν μεμελετηκότες, ἀλλὰ τὸ ἔξεστί μοι.

Τοῦ αὐτοῦ.

Μὴ θέλε ἐπιτάσσειν τὰ καθήκοντα τοῖς συγγινώσκουσι τὰ μὴ καθήκοντα πράττοντι.

Πυθαγόρου.

Θέλε μᾶλλον τοὺς συνόντας σοι αἰδεῖσθαί σε ἢ φοβεῖσθαι. αἰδοῖ μὲν γὰρ πρόσεστι σέβας. φόβῳ δὲ μῖσος.

Φίλωνος.

Μετὰ τῆς ἰσχύος τὴν πραότητα σῶζε. ἵνα μὴ φοβερὸς, ἀλλ' αἰδοῦς ἄξιος φαίνῃ τοῖς ἐντυγχάνουσι.

Ἰσαίου.

Χρὴ τοὺς νόμους μὲν τίθεσθαι σφοδρῶς. πραοτέρως δὲ κολάζειν, ἢ ὡς ἐκεῖνοι κελεύουσιν.

Τῶν ἑπτὰ σοφῶν,

Σόλων.

Ἐμοὶ μὲν ἔφη ὁ σόλων δοκεῖ μάλιστ' ἂν ἔνδοξος γενέσθαι καὶ βασιλεὺς καὶ τύραννος, εἰ δημοκρατίαν ἐκ μοναρχίας κατασκευάσειε τοῖς πολίταις.

Βίας.

Δεύτερος δὲ βίας εἶπεν. εἰ πρότερος χρῷτο τοῖς νόμοις τῆς πατρίδος.

Θαλῆς.

Ἐπὶ τούτων δὲ θαλῆς ἔφη, εὐδαιμονίαν ἄρχοντος νο

μίζειν, εἰ τελευτήσειεν γηραιὸς κατὰ φύσιν.

Ἀνάχαρσις.

Τέταρτος Ἀνάχαρσις. εἰ μὴ μόνος εἴη φρόνιμος.

Κλεόβουλος.

Κλεόβουλος δέ, εἰ μηδενὶ ἔφη πιστεύοι τῶν ζώντων.

Πιττακός.

Ἕκτος δ' ὁ Πιττακός. εἰ τοὺς ὑπηκόους ὁ ἄρχων παρασκευάσει φοβεῖσθαι μὴ αὐτόν, ἀλλ' ὑπὲρ αὐτοῦ.

Χείλων.

Ὕστατος δ' ὁ Χείλων εἶπε κάλλιστον εἶναι βασιλεία, τὴν μὴ μόνον τοῦ φοβερὸν εἶναι φροντίζοντα.

ΠΕΡΙ ΒΡΑΧΥΛΟΓΙΑΣ.

Θεόγνιδος.

Πολλοῖς ἀνθρώπων γλώσσῃ θύρα οὐκ ἐπίκειται
ἁρμοδίη. καί σφιν πόλλ' ἀλάλητα πέλει.
πολλάκι γὰρ τὸ κακὸν κατακείμενον ἔνδοθεν ἦλθεν.
ἐσθλὸν δ' ἐξελθεῖν λώϊον ἢ τὸ κακόν.

Ἀστυδάμαντος.

Γλώσσης περίπατος ἐστὶν ἀδολεσχία.
ληρεῖς ἐν οὐ δέοντι καιρῷ φιλοσοφῶν.

Ὁμήρου.

Καί τι ἔπος προέηκεν, ὅπερ ἄρρητον τ' ἄμεινον.
Ἀλλ' αἰεὶ μύθοις λαβρεύεαι, οὐδέ τί σε χρὴ
λαβραγόρην τ' ἔμμεναι.

Εὐριπί-

Εὐριπίδου.

Σὺ δ' εὔτροχον μὲν γλῶσσαν ὡς φρονῶν ἔχεις,
ἐν τοῖς λόγοισι δ' οὐκ ἔνεισί σοι φρένες.

Σοφοκλέους.

Τὶ ταῦτα πολλῶν ῥημάτων ἔτ' ἐστί σοι,
τὰ γὰρ περισσὰ πανταχοῦ λυπηρὰ ἔπη.

Μενάνδρου.

Οὔτ' ἐκ χειρὸς μεθέντα καρτερὸν λίθον
ῥᾷον κατασχεῖν, οὔτ' ἀπὸ γλώσσης λόγον.

Σοφοκλέους.

Ανὴρ γὰρ ὅς τις ἥδεται λέγειν ἀεὶ,
λέληθεν αὑτὸν τοῖς ξυνοῦσιν ὢν βαρύς.

Αἰσχύλου.

Γλώσσῃ ματαίᾳ ζημία προστρίβεται.

Φιλήμονος.

Τὸν μὴ λέγοντα τῶν δεόντων μηδὲ ἓν
μακρὸν νόμιζε κἂν δύο εἴπῃ συλλαβάς.
τὸν δ' εὖ λέγοντα, μὴ νόμιζ' εἶναι μακρόν.
μὴ δ' ἂν σφόδρ' εἴπῃ πολλὰ, καὶ πολὺν χρόνον.
τεκμήριον δὲ τόνδε τὸν ὅμηρον λάβε.
οὗτος γὰρ ἡμῖν μυριάδας ἐπῶν γράφει
ἀλλ' οὐδὲ εἷς ὅμηρον εἴρηκε μακρόν.

Μενάνδρου.

Τυραννικόν τι πόλλ' ἐπίστασθαι λέγειν.

Τοῦ αὐτοῦ.

Αἰσχρόν γ' ὅτάν τις ὢν ἀθ γλώσσῃ φυεὶς,

γλώσσῃ ματαίους ἐξακοντίσῃ λόγους.

Ἀπολλοδώρου.

Οἱ κράτιστοι τῶν ἀνθρώπων βραχυλογώτατοι. οἱ οὖν ἀδολέσχαι εἰ ἠπίσταντο ὡς ἀνιῶσιν οὐκ ἂν ἐμακρηγόρουν.

Πλάτων ἀντιπαθέντος ἐν τῇ διατριβῇ ποτὲ μακρολογήσαντος, ἀγνοεῖς εἶπεν ὅτι τοῦ λόγου μέτρον ἐστὶν οὐχ ὁ λέγων ἀλλ' ὁ ἀκούων.

Δημοκρίτου.

Πλεονεξίη τὸ πάντα λέγειν, μὴ δὲ ἓν δὲ ἀκούειν.

Θεόκριτος ἀναξιμένους λέγειν μέλλοντος, ἄρχεται εἶπεν λέξεων μὲν ποταμός, νοῦ δὲ σταλαγμός.

ΠΕΡΙ ΤΟΥ ΒΙΟΥ ὅτι βραχὺς ℭ εὐτελής.

Σοφοκλέους.

Ὦ θνητῶν ἀνδρῶν καὶ ταλαιπώρων γένος
ὡς οὐδὲν ἐσμὲν, πλὴν σκιαῖς ἐοικότες,
βάρος περισσὸν γῆς ἀναστρεφόμενοι.

Τοῦ αὐτοῦ.

Ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν
εἴδωλ' ὅσοιπερ ζῶμεν, ἢ κούφην σκιάν.

Φιλήμονος.

Τοιοῦτος ὁ βίος ἐστὶν ἀνθρώπων γύναι.
εὐφραινόμεθ' ἔλαττον ἢ λυπούμεθα.

Μεναν-

Μενάνδρου.

Ἅπαντα τὰ ζῷ' ἐστὶ μακαριώτατα
καὶ νοῦν ἔχοντα μᾶλλον ἀνθρώπου πολύ.
τὸν ὄνον ὁρᾶν ἔξεστι πρῶτα τουτονί.
οὗτος κακοδαίμων ἐστὶν ὁμολογουμένως.
τούτῳ κακὸν δι' αὑτὸν οὐδὲν γίνεται.
ἃ δ' ἡ φύσις δέδωκε ταῦτ' ἔχει.
ἡμεῖς δὲ χωρὶς τῶν ἀναγκαίων κακῶν
αὐτοὶ παρ' αὑτῶν ἕτερα προσποριζόμεθα.
λυπούμεθ' ἂν πτάρῃ τὶς, ἂν εἴπῃ κακῶς
ὀργιζόμεθ', ἂν ἴδῃ τὶς ἐνύπνιον
σφόδρα φοβούμεθα. ἂν γλαὺξ ἀνακράγῃ
δεδοίκαμεν. ἀγωνίαι, δόξαι, φιλοτιμίαι, νόμοι,
ἅπαντα ταῦτ' ἐπίθετα τῇ φύσει κακά.

Αἰσχύλου.

Βίου πονηροῦ θάνατος εὐκλεέστερος.

Μενάνδρου.

Ἀνθρωπίνως χρὴ τὰς τύχας φέρειν ξένε.
τὰ κοινὰ κοινῶς δεῖ φέρειν συμπτώματα.

Εὐριπίδου.

Τοὺς ζῶντας εὖ δρᾶν κατθανὼν οὐδεὶς ἀνὴρ
γῆ καὶ σκιά. τὸ μηδὲν, εἰς οὐδὲν βλέπει.

Πομπηΐου μάκρου.

Δεῦτ' ὦ τέκν' ὦ στερχθέντα ὅσον πλεῖστον θέμις.
ὦ πολλὰ τέρψαντ' οὐδὲ λυπήσαντά τι.
μητέρα τι προσλάζυσθε κἀξαρτᾶσθέ μου.

Ο βούλεσθ'

βούλεσθ' ἀθύρειν; παίζετ' ὦ νέαι φρένες
ὡς ἔστιν ἡμῖν τοῦτ' ἔαρ παντὸς βίου.
ἥβη δὲ λύπαι, φροντίδες θ' ἥβωσ' ὁμοῦ.

Διφίλου.

Ἄνθρωπός εἰμι. τοῦτο δ' αὐτὸ τοῦ βίου
πρόφασιν μεγίστην εἰς τὸ λυπεῖσθαι φέρει.

Εὐριπίδου.

Εἰ δ' ἄτερ πόνων δοκεῖς ἔσεσθαι
μῶρος εἶ, θνητὸς γεγώς.

Τοῦ αὐτοῦ.

Ἀλλ' ἡμέρα τοι πολλὰ καὶ μέλαινα νὺξ,
τίκτει βροτοῖσι.

Ἡσιόδου.

Πλείη μὲν γαῖα κακῶν. πλείη δὲ θάλασσα
νοῦσοι δ' ἀνθρώπων ἐφημέρι, αἳ δ' ἐπὶ νυκτὶ
αὐτόματοι φοιτῶσι κακὰ θνητοῖσι φέρουσαι.

Διφίλου.

Ἀπροσδόκητον οὐδὲν ἀνθρώποις πάθους,
ἐφημέρους γὰρ τὰς τύχας κεκτήμεθα.

Μενάνδρου.

Τυφλόν γε καὶ δύστηνον ἀνθρώποις βίος.

Μιμνέρμου.

Ἡμεῖς δ' οἷά τε φύλλα φύει πολυάνθεμος ὥρη
ἔαρος ὅτ' αἶψ' αὐγῇ αὔξεται ἠελίου.
τοῖς ἴκελοι πηχύιον ἐπὶ χρόνον ἄνθεσιν ἥβης
τερπόμεθα πρὸς θεῶν εἰδότες οὔτε κακόν.

οὔτ' ἀγα

οὔτ' ἀγαθόν. κῆρες δὲ παρεστήκασι μέλαιναι.
ἡ μὲν ἔχουσα τέλος γήραος ἀργαλέου.
ἡ δ' ἑτέρη θανάτοιο. μίνυνθα δὲ γίνεται ἥβης
καρπὸς. ὅσον τ' ἐπὶ γῆν κίδναται ἠέλιος.
αὐτὰρ ἐπὴν δὴ τοῦτο τέλος παραμείψεται ὥρης
αὐτίκα δὴ τεθνάναι βέλτιον ἢ βίοτος.
πολλὰ γὰρ ἐν θυμῷ κακὰ γίνεται. ἄλλοτε οἶκος
τρυχοῦται. πενίης δ' ἔργ' ὀδυνηρὰ πέλει.
ἄλλος δ' αὖ παίδων ἐπιδεύεται, ὧντε μάλιστα
ἱμείρων κατὰ γῆς ἔρχεται εἰς ἀΐδην.
ἄλλος δέ τις νοῦσον ἔχει θυμοφθόρον, οὐδέ τις ἐστὶν
ἀνθρώπων ᾧ ζεὺς μὴ πολλὰ κακὰ διδῷ.

Φιλήμονος.

ὦ τρισμακάρια καὶ τρισόλβια ἅπαντα
τὰ θηρία, οὐκ ἔνεστι περὶ τούτων λόγος,
οὔτ' εἰς ἔλεγχον αὐτῶν οὐδὲν ἔρχεται.
οὔτ' ἄλλο τοιοῦτ' οὐδὲν ἔστ' αὐτοῖς κακὸν
ἐπακτόν. ἣν δ' ἂν εἰσενέγκηται φύσιν
ἕκαστον εὐθὺς καὶ νόμον ταύτην ἔχει.
ἡμεῖς δ' ἀβίωτον ζῶμεν ἄνθρωποι βίον.
δουλεύομεν δόξαισιν εὑρόντες νόμους
προγόνοισιν ἐγγόνοισιν, οὐκ ἔστ' ἀποτυχεῖν
κακοῦ. πρόφασιν δ' ἀεί τιν' ἐξευρίσκομεν.

Σιμωνίδου.

ὦ παῖ. τέλος μὲν ζεὺς ἔχει βαρύκτυπος
πάντων ὅσ' ἔστι καὶ τίθησιν ὅπη θέλει.

νόος δ' οὐκ ἐπ' ἀνθρώποισιν. ἀλλ' ἐφημέριοι
δὴ βροτοὶ ζώομεν,
ὅπως ἕκαστον ἐκτελευτήσει θεός.
ἐλπὶς δὲ πάντας κα   πει θείη τρέφει,
ἄπρηκτον ὁρμαίνοντας. οἱ μὲν ἡμέραν
μένουσιν ἐλθεῖν. οἱ δ' ἐτέων περιτροπάς.
νέωτα δ' οὐδεὶς ὅστις οὐ δοκεῖ βροτῶν
πλούτῳ τε κἀγαθοῖσιν ἵξεσθαι φίλος.
φθάνει δὲ τὸν μὲν γῆρας ἄζηλον λαβὼν
πρὶν τέρμ' ἵκηται. τοὺς δὲ δύστηνοι νόσοι
φθείρουσι θνητῶν. τοὺς δ' ἄρει δεδμημένους
πέμπει μελαίνης ἀΐδης ὑπὸ χθονός.
οἱ δ' ἐν θαλάσσῃ λαίλαπι κλονεύμενοι
καὶ κύμασι πολλοῖσι πορφυρῆς ἁλὸς
θνήσκουσιν, εὖτ' ἂν μὴ δυνήσωνται ζώειν.
οἱ δ' ἀγχόνην ἅψαντο δυστήνῳ μόρῳ
καὐτάγρετοι λείπουσιν ἡλίου φάος.
οὕτω κακῶν ἄπ' οὐδέν. ἀλλὰ μυρίαι
βροτοῖσι κῆρες κἀνεπίφραστοι δύαι
καὶ πήματ' ἐστίν. εἰ δέ μοι πυθοίατο,
οὐκ ἂν κακῶν ἐρῶμεν, οὐδ' ἐπ' ἄλγεσιν
κακοῖς ἔχοντες θυμὸν αἰκιζοίμεθα.

Τοῦ αὐτοῦ.

ἓν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ.
οἵη περ φύλλων γενεὴ τοιήδε καὶ ἀνδρῶν.
παῦροι μὴν θνητῶν οὔασι δεξάμενοι

στέρνοις

στέρνοις ἐγκατέθεντο. πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ
ἀνδρῶν. ἥτε νέων στήθεσιν ἐμφύεται.
θνητῶν δ' ὄφρα τις ἄνθος ἔχῃ πολυήρατον ἥβης
κοῦφον ἔχων θυμὸν, πόλλ' ἀτέλεστα νοεῖ.
οὔτε γὰρ ἐλπίδ' ἔχει γηρασέμεν, οὐδὲ θανεῖσθαι.
οὐδ' ὑγιὴς ὅταν ᾖ φροντίδ' ἔχει καμάτου.
νηπίοισι ταύτῃ κεῖται νόος. οὐδὲ ἴσασιν
ὡς χρόνος ἔσθ' ἥβης καὶ βιότου ὀλίγος
θνητοῖς. ἀλλὰ σὺ ταῦτα μαθὼν βιότου ποτὶ τέρμα
ψυχῇ τῶν ἀγαθῶν τλῆθι χαριζόμενος.

Ἡσιόδου.

Πλείη μὲν γαῖα κακῶν. πλείη δὲ θάλασσα.
νοῦσοι δ' ἀνθρώποισιν ἐφ' ἡμέρῃ. αἱ δ' ἐπὶ νυκτὶ
αὐτόμαται φοιτῶσι κακὰ θνητοῖσι φέρουσαι.

Εὐριπίδου.

Φεῦ φεῦ βρότειαι πημάτων ὅσαι τύχαι
ὅσαι τε μορφαί. τέρμα δ' οὐκ εἴποι τις ἄν.

Τοῦ αὐτοῦ.

Ἐγὼ τὸ μὲν δὴ πανταχοῦ θρυλούμενον
κράτιστον εἶναί φημι μὴ φῦναι βροτοῖς.

Αἰσχύλου.

Τὸ γὰρ βρότειον σπέρμ' ἐφημέρια φρονεῖ,
καὶ πιστὸν οὐδὲν μᾶλλον ἢ καπνοῦ σκιά.

Ὁμήρου.

Ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι,
ζώειν ἀχνυμένοις.

Ὁμήρου.

Οὐ μὲν γὰρ τί πού ἐστιν ὀϊζυρώτερον ἀνδρὸς
πάντων ὅσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.

Τοῦ αὐτοῦ.

Τί γὰρ δὴ δεῖ βροτῶν ἕνεκα πολεμίζειν
δειλῶν. οἳ φύλλοισιν ἐοικότες, ἄλλοτε μέν τε
ζαφλεγέες τελέθουσιν ἀρούρης καρπὸν ἔδοντες.
ἄλλοτε δὲ φθινύθουσιν ἀκήριοι. οὐδέ τις ἀλκή.

Μενάνδρου.

Τρισάθλιόν γε καὶ ταλαίπωρον φύσει
πολλῶν τε μεστὸν ἐστὶ τὸ ζῆν φροντίδων.

Δημοκρίτου.

Διζημένοισι τἀγαθὰ μόλις παραγίνεται. τὰ δὲ κακὰ καὶ μὴ διζημένοισι.

Ἀριστοτέλους.

Τί γάρ ἐστιν ἄνθρωπος; ἀσθενείας ὑπόδειγμα. καιροῦ λάφυρον. τύχης παίγνιον. μεταπτώσεως εἰκών. φθόνου καὶ συμφορᾶς πλάστιγξ. τὸ δὲ λοιπὸν φλέγμα, καὶ χολή.

Σωκράτης ἔλεγε νομίζειν ἀεὶ τοὺς θεοὺς γελᾶν ὁρῶντας τὴν τῶν ἀνθρώπων κενοσπουδίαν. μικρὰ γὰρ τὰ ἀνθρώπινα πάντα ὄντα, οὐκ ἴσης σπουδῆς τυγχάνει.

ΠΕΡΙ ΓΑΜΟΥ,
ὅτι κάλλιστον.

Εὐριπίδου.

Μεγάλη τυραννὶς ἀνδρὶ τέκνα καὶ γυνή.
ἴσην γὰρ ἀνδρὶ συμφορὰν εἶναι λέγω
τέκνων θ' ἁμαρτεῖν καὶ πάτρας, καὶ χρημάτων,
ἀλόχου τε κεδνῆς· ὡς μόνων τῶν χρημάτων
ἡ κρεῖσσον ἐστὶν ἀνδρὶ σώφρον' ἂν λάβῃ.

Ἀπολλωνίδου.

Φεῦ φεῦ γυναικὸς ὡς ἐν ἀνθρώποις ἄρα
οὐ χρυσὸς. οὐ τυραννίς. οὐ πλούτου χλιδή.
τοσοῦτον εἶχε διαφόρους τὰς ἡδονὰς
ὡς ἀνδρὸς ἐσθλοῦ καὶ γυναικὸς εὐσεβοῦς
γνώμη δικαία, καὶ φρονοῦσα τἄνδικα.

Θεόγνιδος.

Οὐδὲν κύρν' ἀγαθῆς γλυκερώτερόν ἐστι γυναικός.
μάρτυς ἐγώ. σὺ δέ μοι γίνου ἀληθοσύνης.

Εὐριπίδου.

Γυναικὸς ἀρετὰς ἀξίως ἐπαινέσαι
σοφοῦ τινος γένοιτ' ἂν ἴσορος λόγων.

Τοῦ αὐτοῦ.

Οἰκοφθόρον γὰρ ἄνδρα κωλύει γυνή,
ἐσθλὴ παραζευχθεῖσα, καὶ σώζει δόμους.

Τοῦ αὐτοῦ.

Ταμεῖον ἀρετῆς ἐστι γενναία γυνή.

Τοῦ αὐτοῦ.

Ἀμηχανῶ δ' ἔγωγε κοὐκ ἔχω μαθεῖν,
εἴτ' οὖν ἄμεινόν ἐστι γίγνεσθαι τέκνα
θνητοῖσιν, εἴτ' ἄπαιδα καρποῦσθαι βίον.
ὁρῶ γὰρ οἷς μὲν οὐκ ἔφυσαν ἀθλίους.
ὅσοισι δ' εἰσὶν οὐδὲν εὐτυχεστέρους.
καὶ γὰρ κακοὶ γεγῶτες, ἐχθίστη νόσος.
κἂν αὖ γένωνται σώφρονες κακὸν μέγα.
λυποῦσι τὸν φύσαντα μὴ πάθωσί τι.

Ἀντιγόνου.

Ζευχθεὶς γάμοισιν οὐκ ἔτ' ἐς ἐλεύθερος
ἀλλ' ἓν γ' ἔχει τι χρηστόν. ἐν κήδει γὰρ ὢν
ὀυθλῶ δέδοικε μηδὲν ἐξαμαρτάνειν.

Δημοσθένους ἐκ τοῦ κατὰ νεαίρας.

Τὰς μὲν γὰρ ἑταίρας ἡδονῆς ἕνεκα ἔχομεν. τὰς παλλακὰς, τῆς καθ' ἡμέραν θεραπείας τοῦ σώματος. τὰς δὲ γυναῖκας τοῦ παιδοποιεῖσθαι γνησίως, καὶ τῶν ἔνδον φύλακα πιστὴν ἔχειν.

Πλάτωνος νόμων.

Περὶ γάμων δὴ ταῦτ' ἔσται παραμύθια λεγόμενα, ὡς χρή τ' ἀειγενοῦς φύσεως ἀντέχεσθαι. τῷ παῖδας παίδων καταλείποντι ἀεὶ τῷ θεῷ ὑπηρέτας ἀνθ' αὑτοῦ παραδιδόναι.

Ἐν ταὐτῷ.

Γεννῶντάς τε καὶ ἐκτρέφοντας παῖδας καθάπερ λαμπάδα τοῦ βίου παραδιδόντας ἄλλοις ἐξ ἄλλων.

Ἐκ τῶν Ἀρίστωνος.

Σπαρτιατῶν νόμος τάττει ζημίας. τὴν μὲν πρώτην ἀγαμίου. τὴν δευτέραν ὀψιγαμίου. τὴν τρίτην καὶ μεγίστην κακογαμίου.

ΟΤΙ ΟΥΚ ΑΓΑ- θὸν τὸ γαμεῖν.

Ἀλέξιδος.

ΤΙΣ δῆθ' ὑγιαίνων, νοῦν τ' ἔχων τολμᾷ ποτὲ
γαμεῖν διαπραξάμενος ἥδιον βίον.
εἶτ' οὐχὶ κρεῖττόν ἐστι τόν γ' ἔχοντι νοῦν
ἄτιμον εἶναι μᾶλλον ἢ γυναῖκ' ἔχειν,
πτωχῷ γε. σοῦ μὲν γοῦν ἀτίμους οὐκ ἐᾷ
ἀρχὴν λαχόντας ὁ νόμος ἄρχειν τῶν πέλας.
ἐπὰν δὲ γήμης οὐδὲ σαυτοῦ κύριον
ἔξεστιν εἶναι. τὰς γὰρ εὐθυμίας μόνον
ἐφημερινὰς τοῦ βίου κεκτήμεθα.

Μενάνδρου.

ὦ τρισκακοδαίμων ὅς τις πένης ὢν γαμεῖ
καὶ παιδοποιεῖθ'. ὡς ἀλόγιστος ἐστ' ἀνήρ,
ὃς μήτε φυλακὴν τῶν ἀναγκαίων ἔχει,
μήτ' ἂν ἀτυχήσας εἰς τὰ λοιπὰ τοῦ βίου
ἐπαμφιάσαι τοῦτο δύναιτο χρήμασιν.
ἀλλ' ἐν ἀκαλύπτῳ καὶ ταλαιπώρῳ βίῳ
χειμαζόμενος ζῇ. τῶν ἀνιαρῶν ἔχων τὸ μέρος

ἀπ᾽ αὐτῶν. τῶν δ᾽ ἀγαθῶν οὐ δυνάμενος.

Ναυμαχίου.

Καλὸν μὲν δέμας ἁγνὸν ἔχειν. ἀδμῆτά τε μίμνειν
παρθενικήν. καθαροῖσι δ᾽ ἀεὶ μελεδήμασι
χαίρειν. μήτε βαρυτλήτων λαγόνων περίφορτον
μήτε πόνον τρομέουσαν ἀγάστονον εἰλειθυίης.
ἀλλ᾽ ἤτοι βασίλειαν ἀφαυρῶν θηλυτεράων
ψυχῆς ὄμμα φαεινὸν ὑπὲρ βίοτον χέουσαν.
ἔνθα γάμοι κεδνοὶ καὶ ἀληθέες. ἔνθα μιγεῖσα
θεσπεσίοις ἐπέεσι νοήματα φαιδρὰ τίκτει.
εἰ δέ σε καὶ ξυνοῖο πόθος βιότοιο κιχάνοι.
καὶ τοῦτο προδαεὶς ὀρέω. πῶς χρή σε περῆσαι
τὸν πλοῦν, ὥς φασι, τὸν δεύτερον εὔφρονι θυμῷ.

Ἱππώνακτος.

Δύ᾽ ἡμέραι γυναικός εἰσιν ἥδισται,
ὅταν γαμῇ τίς, κἀκφέρῃ τεθνηκυῖαν.

Μενάνδρου.

Μηδέ ποτε γήμοι μηδὲ εἷς εὔνους ἐμοί.

Τοῦ αὐτοῦ.

Γαμεῖν κεκρικότα δεῖ σε γινώσκειν ὅτι
ἀγαθὸν μεθέξεις, ἂν λάβῃς μικρὸν κακόν.

Εὐριπίδου.

Νόμοι γυναικῶν οὐ καλῶς κεῖνται πέρι.
χρὴ γὰρ τὸν εὐτυχοῦνθ᾽ ὅτι πλείστας ἔχειν
γυναῖκας, εἴπερ τροφὴ δόμοισι παρῆν.
ὡς τὴν κακὴν μὲν ἐξέβαλε δωμάτων

τὴν δ' οὖσαν οὐθελὴν ἡδέως οὐσώζετο.
νῦν δ' εἰς μίαν βλέπουσι κίνδυνον μέγαν
ῥίπτοντες. οὐ γὰρ τῶν τρόπων πειρώμενοι
νύμφας εἰς οἴκους ἐρματίζονται βροτοί.

Τοῦ αὐτοῦ.

Ζηλῶ δ' ἀγάμους, ἀτέκνους τε βροτῶν.
μία γὰρ ψυχὴ περὶ ὑπεραλγεῖν μέτριον ἄχθος.

Τοῦ αὐτοῦ.

Οὔποτε φήσω γάμον εὐφραίνειν πλέον ἢ λυπεῖν.
πολλοὺς δὲ πλούτῳ καὶ γένει γαυρουμένους
γυνὴ κατήχωσεν ἐν δόμοισι νηπία.

Φιλήμονος.

Τὸν μόνον ὄντα καὶ κακὴ τύχη τρέφει.

Φιλήτου.

Βίον καλὸν ζῇς ἂν μὴ γυναῖκα ἔχῃς.

Διφίλου.

Γυναικὸς ἀγαθῆς ἐπιτυχεῖν οὐ ῥᾴδιον.

Χαιρήμονος.

Γυναῖκα θάπτειν κρεῖσσόν ἐστιν ἢ γαμεῖν.

Ἱπποθόου.

Ζευχθεὶς γάμοισιν οὐκ ἔτ' εἰς ἐλεύθερος.

Θεοδέκτου.

Παραπλήσιον πρᾶγμ' ἐστὶ γῆρας καὶ γάμος.
τυχεῖν γὰρ αὐτῶν ἀμφοτέρων σπουδάζομεν.
ὅταν δὲ τύχωμεν ὕστερον λυπούμεθα.

Μενάνδρου.

Πατρῷα ἔχειν δεῖ τὸν καλῶς εὐδαίμονα,
τὰ δὲ μετὰ γυναικὸς εἰσιόντ' εἰς οἰκίαν
οὔτ' ἀσφαλῆ τὴν κτῆσιν, οὔθ' ἱλαρὰν ἔχει.

Λυκούργου.

Οταν γυνὴ ὁμονοίας τῆς πρὸς ἄνδρα στερηθῇ, ἀβίωτος ὁ καταλειπόμενος γίνεται βίος.

Λυσίου.

ἣ γὰρ ἂν ἡμέρᾳ γυνὴ προδῷ τὸ σῶμα, καὶ τὴν τάξιν λίπῃ τῆς αἰδοῦς, εὐθέως παραλλάττει τῶν φρενῶν. ὥστε νομίζειν τοὺς μὲν οἰκείους, ἐχθρούς. τοὺς δ' ἀλλοτρίους πιστούς. περὶ δὲ τῶν καλῶν καὶ αἰσχρῶν ἐναντίαν ἔχειν τὴν γνώμην.

Αναξαμάνδρος.

Ος τις γαμεῖν βούλεται, ὃ βουλεύεται
ὀρθῶς, διότι βουλεύεται, χοὔτω γαμεῖ.
πολλῶν κακῶν γάρ ἐστιν ἀρχὴ τοῦ βίου.
ἢ γὰρ πένης ὢν τὴν γυναῖκα χρήματα
λαβὼν ἔχει δέσποιναν οὐ γυναῖκ' ἔτι
ἧς ἐστι δοῦλος καὶ πένης. ἣν δ' ἂν λάβῃ
μηδὲν φερομένην, δοῦλος αὐτὸς γίνεται.
δεῖ γὰρ τὸ λοιπὸν ἀνθ' ἑνὸς τρέφειν δύο.
ἀλλ' ἔλαβεν αἰσχράν, οὐ βιωτόν ἐστ' ἔτι.
οὐδ' εἴσοδος τὸ παράπαν εἰς τὴν οἰκίαν.
ἀλλ' ἔλαβεν ὡραίαν τις, οὐδὲν γίνεται
μᾶλλόν τι τοῦ γήμαντος, ἢ τῶν γειτόνων.

ὥστ' οὐ

ὥστ' οὐδαμῶς κακοῦ γ' ἁμαρτεῖν γίνεται.

Φιλήμονος.

Ἀθάνατόν ἐστι κακὸν ἀναγκαῖον γυνή.

Φιλιππίδου.

Ἔλεγον ἐγώ σοι μὴ γαμεῖν, ζῆν δ' ἡδέως.
τὸ πλεῖστον ἀγαθὸν δ' ἐστὶ τοῦτ' ὦ φίλε
μὴ λαμβάνειν γυναῖκα. μὴ δὲ τῇ τύχῃ
διὰ πλειόνων αὐτὴν παρακαλεῖν πραγμάτων.

Μενάνδρου.

Τὸ γυναῖκ' ἔχειν, εἶναί τε παίδων παρμενῶν
πατέρα, μερίμνας τῷ βίῳ πολλὰς φέρει.

Σοφοκλέους.

Νῦν δ' οὐδέν εἰμι χωρίς. ἀλλὰ πολλάκις
ἔβλεψα ταύτῃ τὴν γυναικείαν φύσιν.
ὡς οὐδέν ἐσμεν. αἱ νέαι μὲν γὰρ πατρὸς
ἥδιστον οἶμαι ζῶμεν ἀνθρώπων υἱόν.
τερπνῶς γὰρ ἀεὶ πάντας ἡ ἄνοια τρέφει.
ὅταν δὲ ἥβην ἐξικώμεθ' εὔφρονες
ὠθούμεθ' ἔξω καὶ διεμπολούμεθα.
θεῶν πατρῴων τῶν φυσάντων ἄπο.
αἱ μὲν, ξένους πρὸς ἄνδρας. αἱ δὲ βαρβάρους.
αἱ δ' εἰς ἀληθῆ δώματ' αἱ δ' ἐπίρροθα.
καὶ ταῦτ' ἐπειδὰν εὐφρόνη ζεύξῃ μία·
χρεὼν ἐπαινεῖν καὶ δοκεῖν καλῶς ἔχειν.

Ἀντιφάνους.

Ὡς ἔστι τὸ γαμεῖν ἔσχατον τοῦ δυστυχεῖν.

Ἐπαμινώνδας ἐρωτηθεὶς τί ὄνειθ' ὁ μὴ γήμας, τὸ μὴ ὀκνεῖν εἶπεν ὑπὲρ τῆς πατρίδος ἀποθνήσκειν.

Πλάτων ἐρωτηθεὶς εἰ γήμας φιλοσοφήσω, οὐκ εἰδὼς ἔφη οὐ δὲ μόνον σαυτὸν σώζειν, καὶ γυναῖκα ἐπὶ τῶν ὤμων συνδιασώσεις;

Θαλῆς τῇ μητρὶ γυναῖκα λαβεῖν δεομένῃ, οὔ πω καιρὸς ἔλεγεν, εἶτα προβὰς, οὐκέτι καιρός.

ΨΟΓΟΣ ΓΥΝΑΙΚΩΝ.

Εὐριπίδου.

Δεινὴ μὲν ἀλκὴ κυμάτων θαλασσίων.
δειναὶ δὲ ποταμοῦ καὶ πυρὸς θερμαὶ πνοαί.
δεινὸν δὲ πενία. δεινὰ δ' ἄλλα μυρία.
ἀλλ' οὐδὲν οὕτω δεινὸν ὡς γυνὴ κακόν.
οὐδ' ἂν γένοιτο γράμμα τοιοῦτ' ἐν γραφῇ.
οὐδ' ἂν λόγος λέξειεν. εἰ δέ του θεῶν
τόδ' ἐστὶ πλάσμα, δημιουργὸς ὢν κακῶν
μέγιστος ἴσθι, καὶ βροτοῖσι δυσμενής.

Τοῦ αὐτοῦ.

Γυναῖκες ἐσμὲν ἐς μὲν ἔσθλ' ἀμηχανώταται,
κακῶν δὲ πάντων τέκτονες σοφώταται.

Τοῦ αὐτοῦ.

Ὄλοιθε μισῶν δ' οὔποτ' ἐμπλησθήσομαι
γυναῖκας. οὐδ' εἴ φησί τις μ' ἀεὶ λέγειν.

ἀεὶ γὰρ

ἀεὶ γὰρ οὕτως εἰσὶ κἀκεῖναι κακαί.
ἢ νῦν τις αὐτὰς σωφρονεῖν διδαξάτω,
ἢ κἄμ' ἐάτω ταῖς δ' ἐπεμμαίνειν ἀεί.

Τοῦ αὐτοῦ.

Ἄλλως δὲ πάντων δυσμαχώτατον γυνή.
ἐχθροῖσιν εἴη πολεμίαν δάμαρτ' ἔχειν.

Τοῦ αὐτοῦ.

Γυνὴ γὰρ ἐστι τἄλλα μὲν φόβου πλέα
κακή δ' ἐς ἀλκὴν καὶ σίδηρον εἰσορᾶν.
ὅταν δ' ἐς εὐνὴν ἠδικημένη κυρῇ,
οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα.

Τοῦ αὐτοῦ.

Πλὴν τῆς τεκούσης, θῆλυ πᾶν μισῶ γένος.

Τοῦ αὐτοῦ.

Γυνὴ γὰρ ἐξελθοῦσα πατρῴων δόμων
οὐ τῶν τεκόντων ἐστὶν, ἀλλὰ τοῦ λέχους.

Τοῦ αὐτοῦ.

Γυναῖκα δ' ὅς τις παύσεται λέγων κακῶς
δύστηνος ἆρα κοὐ σοφὸς κεκλήσεται.

Τοῦ αὐτοῦ.

Πολλὰς γὰρ εὕροις μηχανάς. γυνὴ γὰρ εἶ.

Τοῦ αὐτοῦ.

Δειλῶν γυναῖκες δορυπόρων θρασύστομοι.

Τοῦ αὐτοῦ.

Πέτριδα. δεινὸν δ' ἑρπετῶν καὶ ἀγρίων
ἄκη βροτοῖσι θεῶν κατασῆσαί τινα.

ἃδ' ἐς' ἐχίδνης καὶ πυρὸς περαιτέρω
οὐδεὶς γυναικὸς φάρμακ' ἐξεύρηκέ πω,
κακῆς. τοσοῦτον ἐσμὲν ἀνθρώποις κακόν.

Τοῦ αὐτοῦ.

ὦ παγκακίστη καὶ γυνή. τί γὰρ λέγων
μεῖζόν σε τοῦδ' ὄνειδος ἐξείποι τις ἄν.

Τοῦ αὐτοῦ.

Πάντων δ' ὅσ' ἔμψυχα καὶ γνώμην ἔχει
γυναῖκές ἐσμεν ἀθλιώτατον φυτόν.
ἃς πρῶτα μὲν δεῖ χρημάτων ὑπερβολῇ
πόσιν πρίασθαι. δεσπότην δὲ σώματος
λαβεῖν. κακοῦ γὰρ τοῦτό γ' ἄλγιον κακόν.

Τοῦ αὐτοῦ.

ὦ ζεῦ. τί δὴ κίβδηλον ἀνθρώποις κακὸν
γυναῖκας εἰς φῶς ἡλίου κατῴκισας.
εἰ γὰρ βρότειον ἤθελες σπεῖραι γένος
οὐκ ἐκ γυναικῶν χρῆν παρασχέσθαι τόδε,
ἀλλ' ἀντιθέντας σοῖσιν ἐν ναοῖς βροτοὺς
ἢ χαλκὸν ἢ σίδηρον ἢ χρυσοῦ βάρος
πόσιν πρίασθαι σπέρμα τοῦ τιμήματος.

Τοῦ αὐτοῦ.

Μισῶ γυναῖκας ἐκ πασῶν δέ σε
ἥ τις πονηρὰ ἔργα ἔχουσ' εὖ λέγεις.

Ὁμήρου.

Οἶσθα γὰρ οἷος θυμὸς ἐνὶ στήθεσι γυναικός.
κείνου βούλεται οἶκον ὀφέλλειν ὅς τις ὀπύει.

παίδων δὲ προτέρων καὶ κουριδίοιο φίλοιο
οὐκέτι μέμνηται τεθνειότος, οὐδὲ μεταλλᾶ.

Ἀλέξιδος.

Οὐκ ἔστ' ἀναισχυντότερον οὐδὲν θηρίον
εἰσορᾶν γυναικός. ἀπ' ἐμαυτοῦ ἐγὼ τεκμαίρομαι.

Μενάνδρου.

Πολὺ χεῖρόν ἐστιν ὀρεθίζειν γραῦν ἢ κύνα.

Τοῦ αὐτοῦ.

Καί γε λογίζομαι ὁ κακοδαίμων προσδοκῶν
χάριν παρὰ γυναικὸς κομιεῖσθαι, μὴ μόνον
κακόν τι προσλάβοιμι καὶ κάλλιστ' ἔχει.
οὐκ ἐν γυναικὶ φύεται πλείστη χάρις.

Τοῦ αὐτοῦ.

Τότε τὰς γυναῖκας δεδιέναι μάλιστα δεῖ,
ὅταν περιπλάττωσι τοῖς χρηστοῖς λόγοις.

Τοῦ αὐτοῦ.

Οὐδέποθ' ἑταίρα τοῦ καλῶς πεφρόντικεν
ἢ τὸ κακόηθες πρόσοδον εἴωθε ποιεῖν.

Ἀντιφάνους.

Ἐγὼ γυναικὶ δ' ἕν τι πιστεύω μόνον
ἐπὰν ἀποθάνη μὴ βιώσεσθαι πάλιν.
τὰ δ' ἄλλ' ἀπιστῶ πάνθ' ἕως ἂν ἀποθάνη.

Τοῦ αὐτοῦ.

Ὀφθαλμιῶν ἄνθρωπος ἰσχυρῶς κακὰ
πάμπολλα πάσχων, ἓν ἀγαθὸν πάσχει μόνον.
ὅταν οὐχ ὁρᾶ γυναῖκα τοῦτον τὸν χρόνον.

Μενάνδρου.

ὅπου γυναῖκές εἰσι πάντ᾽ ἐκεῖ κακά.

Σιμωνίδου.

χωρὶς γυναικὸς, θεὸς ἐποίησε νόον·
τὰ πρῶτα. τὴν μὲν, ἐξ ὑὸς τανύτριχος,
τῇ πάντ᾽ ἀν᾽ οἶκον βορβόρῳ πεφυρμένα
ἄκοσμα κεῖται, καὶ κυλινδεῖται χαμαί.
αὕτη δ᾽ ἄλουτος, ἄπλυτος ἐν εἵμασιν
ἐν κοπρίοισιν ἡμένη πιαίνεται.
τὴν δ᾽ ἐξ ἀλιτρῆς θεὸς ἔθηκ᾽ ἀλώπεκος,
γυναῖκα πάντων ἴδριν, οὐδέ μιν κακῶν
λέληθεν οὐδὲν, οὐδὲ τῶν ἀμεινόνων.
τὸ μὲν γὰρ αὐτῶν ἔστι πολλάκις κακόν.
τὸ δ᾽ ἐσθλόν. ὀργὴν δ᾽ ἄλλοτ᾽ ἀλλοίην ἔχει.
τὴν δ᾽ ἐκ κυνὸς λιτοργὸν αὐτομήτορα.
ἣ πάντ᾽ ἀκοῦσαι, πάντα δ᾽ εἰδέναι θέλει.
πάντη δὲ παπταίνουσα καὶ πλανωμένη
λέληκεν, ἢν καὶ μηδέν᾽ ἀνθρώπων ὁρᾷ.
παύσειε δέ μιν οὔτ᾽ ἀπειλήσας ἀνὴρ
οὐδ᾽ εἰ χολωθεὶς ἐξαράξειεν λίθῳ
ὀδόντας, οὐδ᾽ ἂν μειλίχως μυθούμενος.
οὐδ᾽ εἰ παρὰ ξείνοισιν ἡμένη τύχῃ.
ἀλλ᾽ ἐμπέδως ἄπρηκτον αὑονὴν ἔχει.
τὴν δὲ πλάσαντες γηΐνην ὀλύμπιοι
ἔδωκαν ἀνδρὶ πηρόν. οὔτε γὰρ κακόν,
οὔτ᾽ ἐσθλὸν οὐδὲν οἶδε τοιαύτη γυνή.

ἔργων

ἔργων δὲ μοῦνον ἐσθίειν ἐπίσταται.
χ' ὅταν κακὸν χειμῶνα ποιήσει θεὸς
ῥιγῶσα δίφρον ἆσσον ἕλκεται πυρός.
τὴν δ' ἐκ θαλάσσης. ἣ δὺ ἐν φρεσὶν νοεῖ.
τὴν μὲν γελᾶ τε καὶ γέγηθεν ἡμέρην,
ἐπαινέσει δὲ ξεῖνος ἐν δόμοις ἰδών.
οὐκ ἔστιν ἄλλη τῆσδε λωΐων γυνὴ,
ἐν πᾶσιν ἀνθρώποισιν, οὐδὲ καλλίων.
τὴν δ' οὐκ ἀνεκτὸν οὐδ' ἐν ὀφθαλμοῖς ἰδεῖν,
οὔτ' ἆσσον ἐλθεῖν. ἀλλὰ μαίνεται τότε
ἄπλητον ὥσπερ ἀμφὶ τέκνοισι κύων.
ἀμείλιχος δὲ πᾶσι κἀποθυμΐα,
ἐχθροῖσιν ἶσα καὶ φίλοισι γίνεται.
ὥσπερ θάλασσα πολλάκις μὲν ἀτρεμὴς
ἕστηκ' ἀπήμων, χάρμα ναύτῃσι μέγα,
θέρεος ἐν ὥρῃ. πολλάκις δὲ μαίνεται.
βαρυκτύποισι κύμασι φορευμένη.
ταύτῃ μάλιστ' ἔοικε τοιαύτη γυνὴ,
ὀργήν. φυὴν δὲ πόντος ἀλλοίην ἔχει.
τὴν δ' ἔκ τε σποδιῆς καὶ παλιντριβέος ὄνου.
ἣ ζὺν τ' ἀνάγκῃ, ζὺν τ' ἐνιπῇσι μόγις
ἔστερξεν ὧν ἅπαντα καὶ πονήσατο,
ἀρεστά. τόφρα δ' ἐσθίει μὲν ἐν μυχῷ,
προνὺξ, προῆμαρ. ἐσθίει δ' ἐπ' ἐσχάρῃ.
ὁμῶς δὲ καὶ πρὸς ἔργον ἀφροδίσιον
ἐλθόνθ' ἑταῖρον ὁντινοῦν ἐδέξατο.

Q 2 τὴν δ'

τὴν δ' ἐκ γαλῆς δύστηνον ὀϊζυρὸν γένος.
κείνῃ γὰρ οὔ τι καλὸν οὐδ' ἐπίμερον
πρόσεστιν. οὐδὲ τερπνόν. οὐδ' ἐράσμιον.
εὐνῆς δ' ἀληνής ἐστιν ἀφροδισίης.
τὸν δ' ἄνδρα τὸν παρόντα ναυσίῃ διδοῖ.
κλέπτουσα δ' ἔρδει πολλὰ γείτονας κακά.
ἄθυστα δ' ἱρὰ πολλάκις κατεσθίει.
τὴν δ' ἵππος ἀβρηχετείης ἐγείνατο.
ἣ δούλι' ἔργα καὶ δύην περιτρέπει.
κοὔτ' ἂν μύλης ψαύσειεν. οὔτε κόσκινον
ἄφειεν. οὔτε κόπρον ἐξ οἴκου βάλοι.
οὔτε πρὸς ἵππον ἀσβόλην ἀλεομένη
ἵζοιτ' ἀνάγκῃ δ' ἄνδρα ποιεῖται φίλον.
λοῦται δὲ πάσης ἡμέρας ἀπὸ ῥύπον
δίς. ἄλλοτε τρίς. καὶ μύροις ἀλείφεται.
ἀεὶ δὲ χαίτην ἐκτενισμένην φορεῖ
βαθεῖαν ἀνθέμοισιν ἐσκιασμένην.
καλὸν μὲν οὖν θέαμα τοιαύτη γυνὴ,
ἄλλοισι. τῷ δ' ἔχοντι γίγνεται κακόν.
ἢ μή τις ἢ τύραννος ἢ σκηπτοῦχος ᾖ
ὅς τις τοιούτοις θυμὸν ἀγλαΐζεται.
τὴν δ' ἐκ πιθήκου. τοῦτο δὴ διακριδὸν
ζεὺς ἀνδράσι μέγιστον ὤπασε κακόν.
αἴχιστα μὲν πρόσωπα τοιαύτη γυνὴ
εἶσι δι' ἄστεος πᾶσιν ἀνθρώποις γέλως.
ἐπ' αὐχένα βραχεῖα κινεῖται μόγις.

ἄπυγος

ἄπυγος. αὐτόκωλος. αἲ τάλας ἀνὴρ
ὅς τις κακὸν τοιοῦτον ἀγκαλίζεται.
δήνεα δὲ πάντα καὶ τρόπους ἐπίσταται,
ὥσπερ πίθηκος. οὐδέ οἱ γέλως μέλει,
οὐδ' ἄν τιν' εὖ ἔρξειεν. ἀλλὰ τοῦθ' ὁρᾷ,
καὶ τοῦτο πᾶσαν ἡμέρην βουλεύεται,
ὅκως τι χ' ὡς μέγιστον ἔρξειε κακόν.
τὴν δ' ἐκ μελίσσης. τήν τις εὐτυχεῖ λαβών.
κείνη γὰρ οἴη μῶμος οὐ προσιζάνει.
θάλλει δ' ὑπ' αὐτῆς κἀπαέξεται βίος.
φίλη δὲ συμφιλεῦντι γηράσκει πόσει
τεκοῦσα καλὸν κοὐνομάκλυτον γένος.
κἀριπρεπὴς μὲν ἐν γυναιξὶ γίγνεται
πάσησι. θείη ἀμφιδέδρομε χάρις.
οὐδ' ἐν γυναιξὶν ἥδεται καθημένη
ὅκου λέγουσιν ἀφροδισίους λόγους.
τοίας γυναῖκας ἀνδράσι χαρίζεται
ζεὺς τὰς ἀρίστας καὶ πολυφραδεστάτας.
τὰ δ' ἄλλα φῦλα ταῦτα μηχανῇ διὸς
ἔστι τε πάντα, καὶ παρ' ἀνδράσι μένει.
ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησε κακόν,
γυναῖκας, ἤν τι καὶ δοκῶσιν ὠφελεῖν,
ἔχοντι τοῦ μάλιστα γίνεται κακόν.
οὐ γάρ κοτ' εὔφρων ἡμέρην διέρχεται
ἅπασαν ὅς τις σὺν γυναικὶ πέλεται.
οὐδ' αἶψα λιμὸν οἰκίης ἀπώσεται.

ἐχθρὸν συνοικητῆρα δυσμενέα θεῶν.
ἀνὴρ δ᾽ ὅταν μάλιστα θυμηδεῖν δοκῇ
κατ᾽ οἶκον ἢ θεοῦ μοῖραν ἢ ἀνθρώπου χάριν,
εὑροῦσα μῶμον ἐς μάχην κορύσσεται.
ὅπου γυνὴ γάρ ἐστιν οὐδ᾽ ἐς οἰκίαν
ξεῖνον μολόντα προφρόνως δεχοίατο.
ἥτις δέ τοι μάλιστα σωφρονεῖν δοκεῖ
αὕτη μέγιστα τυγχάνει λωβωμένη.
κεχηνότος γὰρ ἀνδρός. οἱ δὲ γείτονες
χαίρουσ᾽ ὁρῶντες καὶ τὴν, ὡς ἁμαρτάνει.
τὴν ἣν δ᾽ ἕκαστος αἰνέσει μεμνημένος,
γυναῖκα. τὴν δὲ τοῦ ἑτέρου μωμήσεται.
ἴσην δ᾽ ἔχοντες μοῖραν οὐ γινώσκομεν.
ζεὺς γὰρ μέγιστον τοῦτ᾽ ἐποίησε κακόν.
καὶ δεσμὸν ἀμφέθηκεν ἄρρηκτον πέδη.
ἐξ οὗτε τοὺς μὲν ἀΐδης ἐδέξατο,
γυναικὸς ἕνεκ᾽ ἀμφιδηριωμένους.

Εὐριπίδου.

πέφυκε γάρ πως πᾶσι πολέμιον γυνὴ,
τοῖς πρόσθεν ἡ ζυγεῖσα δευτέρῳ πόσει.

Τοῦ αὐτοῦ.

γυναιξὶ τέρψις τῶν παρεστώτων κακῶν
ἀνὰ στόμ᾽ ἀεὶ καὶ διὰ γλώσσης ἔχειν.

Τοῦ αὐτοῦ.

ἦν γάρ τις αἶνος, ὡς γυναιξὶ μὲν τέχναι
μέλλουσιν, λόγχῃ δ᾽ ἄνδρες εὐστοχώτεροι.

Μενάν-

Μενάνδρου.
ἔστι γυνὴ λέγουσα χρηστὰ ὑπερβάλλων φόβος.

ΓΑΜΙΚΑ ΠΑΡΑΓΓΕΛΜΑΤΑ.

Εὐριπίδου.

ἈΛΛ' οὔ ποτ' οὔ ποτ' οὐ γὰρ εἰσάπαξ ἐρῶ,
χρὴ τοὺς γε νοῦν ἔχοντας οἷς ἔστι γυνὴ
πρὸς τὴν ἐν οἴκοις ἄλοχον εἰσφοιτᾶν ἐᾶν
γυναῖκας. αὗται γὰρ διδάσκαλοι κακῶν.
ἡ μέν τι κερδαίνουσα συμφθείρει λέχος.
ἡ δ' ἀμπλακοῦσα συννοσεῖν αὐτῇ θέλει.
πολλαὶ δὲ μαργότητι. κἀντεῦθεν δόμοι
νοσοῦσιν ἀνδρῶν. πρὸς τάδ' εὖ φυλάσσετε
κλείθροισι καὶ μοχλοῖσι δωμάτων πύλας.
ὑγιὲς γὰρ οὐδὲν αἱ θύραθεν εἴσοδοι
δρῶσι γυναικῶν. ἀλλὰ πολλὰ καὶ κακά.

Τοῦ αὐτοῦ.

οὐ γάρ ποτ' ἄνδρα τὸν σοφὸν γυναικὶ χρὴ
δοῦναι χαλινούς. οὐδ' ἀφέντ' ἐᾶν κρατεῖν.
πιστὸν γὰρ οὐδέν ἐστιν. εἰ δέ τις κυρεῖ
γυναικὸς ἐσθλῆς, εὐτυχεῖ κακὸν λαβών.

Ναυμαχίου.

ἔστω σοι πόσις οὗτος ὃν ἂν κρίνωσι τοκῆες.
κἂν μὲν ἔῃ πινυτὸς, σὺ μακαρτάτη. εἰ δέ κεν ἄλλως
ἄνδρα μοιρήσαιο, φέρειν καὶ τοῦτον ἀνάγκη.

ἀλλ' ἦν

ἀλλ' ἢν μέν τι σοι πεπνυμένος ὅττι κεν εἴπῃ
πείθεο. μὴ δ' ἔστω βίος ἄνδιχα. γείνεο δ' αὐτοῦ
μειλιχίη μᾶλλον ὅταν τι ἑ κῆδος ἱκάνῃ.
ἀνδρὶ γὰρ ἀσχαλόωντι παραίφασις ἐστὶν ἄκοιτις.
λεῖπε δέ οἱ τὰ θύρηφι, τὰ καὶ δύναται πονέεσθαι.
σοὶ δ' οἰκωφελίη μελέτω, μέγαρόν τε φυλάσσειν.
μὴ δέ μιν ἐξερέεινε τὰ μὴ θέμις ἐστὶ γυναῖκας
ἴδμεναι. εἰ δ' αὐτὸς ἐθέλει συμφράδμονα θέσθαι,
σύνθεο μὲν τάχα μύθῳ. ἀμείβεο δ' ὀψὲ σὺν αὐτοῦ
φραζομένη. καὶ μηδὲν ὑπείσχεο. μὴ δὲ κελεύειν,
σῇ ῥέξειν ἰσότητι. τὸ γὰρ τέλος ἐστὶν ἀφαυρόν.
κουρίδιος πινυτῇ. πόσις ἀφήικος. οὐδέ τ' ἐκείνην
δηΐτορος ἀθρήσει λεχέων ἀπογυμνωθεῖσαν.
πρῶτα μὲν ἀφραίνοντος ἀνάσχεο. καὶ γὰρ ἀνάγκη
πολλάκι που καὶ νούσων ἀνάσχεο κηδομένη πόρ.
ἴσχεο δ' ἐν στέρνοις τὰ σὰ κήδεα. μὴ δ' ἀγόρευε
πᾶσιν ὅσα πορήσει. μὴ δ' ἔννεπε πάντα τοκεῦσι.
μούνη δ' ἀφραδέοντα πινυσσέμεν. ἀλλὰ κατ' αἶσαν.
καὶ πινυτὸν δεδαηκ' ὀρεθιζέμεν ἄνδρα λώβη.
πολλάκι δ' ἤπιος ἄνδρα καὶ ἄφρονα μῦθος ἔθελξεν.
εἰ δ' ὀλοοῖς ἑτάροισιν ἐφεσπόμενος κακὸς εἴη,
μὴ σὺ μὲν ἀντιβίην κείνου τέκος εἰς ἔριν ἔλθοις,
ἀλλ' ἑτάρους ὄτρυνε μετὰ σφίσι νείκεα βάλλειν.
ῥηϊδίη δ' ὁδὸς ἥδε διακρίνει φιλότητα
λευγαλέην. ἑτάροις δὲ φίλον ἀγαθοῖσι γενέσθαι,
σῇ πινυτῇ. τίς γάρ κεν ἑκὼν φίλον ἄφρονα θεῖτο.

καὶ σὺ

καὶ σὺ μὲν ὡς φίλον ἄνδρα κατρεκέως ἀγαπάζε.
γνώτω δ' ἀμφαδίην καὶ σὸς πόσις ὅτι καὶ τέκνα
ἐκ θυμοῦ φιλέεις. ἐπεὶ οὔτι γε τοῖος ἐτύχθη
οἷος ἔχειν φιλότητα καὶ ἤθεα πιστὰ δαῆναι.
παρθενική. σὺ δ' ἄκουε. τάδε χρὴ πάντα φυλάσσειν.
μήτε φιλομειδὴς μάλα γίνεο. μήτε κατηφής.
μήτ' ἔσο πάμπαν ἀεργός. ἅλις δ' ἔχε καὶ πόνου ἔργον.
μήτε κακὴ δμώεσσι τεοῖς ἔσο, μήτε μάλ' εὐθλὴ
φαίνεο. ῥηΐτεροι γὰρ ἀεί που πῆμα φέρονται.
θάρσει δεσποτῶν μάλ' ἐπικρατέουσιν ἀνάκτων.
ὀθνείων φιλότητας ἀναίνεο πρὶν καὶ ἀπ' ἄλλων
εἰδείης ἐτύμως μελετήματα καὶ νόον αὐτῶν.
μήτε γραιῶν ποτε σοῖσι κακὴν δέξαιο μελάθροις.
πολλῶν γρῆες ἔπερσαν εὔκτιτα δώματα φωτῶν.
μὴ δέ μιν ἀκριτόμυθον ἑταιρίσαιο γυναῖκα.
κεδνὰ κακοὶ φθείρουσι γυναικῶν ἤθεα μῦθοι.
μὴ σύ ποτε χρυσῷ περιμαίνεο. μήτ' ἀμφὶ δειρῆς
πορφυρέην ὑάκινθον ἔχῃς ἢ χλωρὸν ἴασπιν
τοῖς ἐπιφυσιόωσι δαλίφρονες. ἀλλὰ σὺ κόσμου
παρθένε τηΰσιου μὴ δεύεο. μηδὲ κατόπτρου.
χειρὶ διακρίνουσα τεὴν αὐγάζεο μορφήν.
μηδὲ κόμης περί. ἀλλὰ πολυσχιδέας πλέκε σειράς.
μὴ δὲ μέλαινε τεῇσιν ὑπὸ βλεφάροισιν ὀπωπάς.
οὐ γὰρ θηλυτέραις δέμας ὤπασεν ἠμιτέλεστον
μορφήν. ὄφρα καὶ ἄλλα περὶ χροῒ τεχνήσαιντο.
πῶς δ' ἂν κούρα δύναιο δαήμονι φωτὶ φανῆναι

θνητὴν ἐφημερίην κομιδὴν χρόα ποικίλλουσα;
ἐξ ἑτέρης ἑτέρην σε, καὶ ἄλλην ἄλλοτε λεύσσω
φαινομένην πολλῇσι μίαν μορφῇσι γυναῖκα.

Μενάνδρου.

σὺ τοῦ γαμετοῦ ὅρους ὑπερβαίνεις γύναι
δέ. τὴν αὐλαὶ λίαν. πέρας γὰρ αὔλιος θύρα
ἐλευθέρα γυναικὶ νενόμιστ᾽ οἰκίας.
τὸ δ᾽ ἐπιδιώκειν, εἴς τε τὴν ὁδὸν τρέχειν
ἔτι λοιδορουμένην κυνὸς ἐστ᾽ ἔργον ῥώδη.

Εὐριπίδου.

οὐδὲν γὰρ καλὸν δυοῖν γυναικοῖν
ἄνδρ᾽ ἐν ἡνίαις ἔχειν.
ἀλλ᾽ εἰς μίαν βλέποντες εὐναίαν κύπριν
στέργουσιν ὅς τις μὴ κακῶς οἰκεῖν θέλη.

Φιλήμονος.

ἀγαθῆς γυναικὸς ἐστὶν ὦ νικοστρατη
μὴ κρείττον᾽ εἶναι τἀνδρὸς, ἀλλ᾽ ὑπήκοον.
γυνὴ δὲ νικῶσ᾽ ἄνδρα κακόν ἐστι μέγα.

Εὐριπίδου.

κακῶν γυναικῶν εἴσοδοί μ᾽ ἀπώλεσαν.

Τοῦ αὐτοῦ.

αἰνῶ. διδάξαι δ᾽ ὦ τέκνον σε βούλομαι
ὅταν μὲν ἦς παῖς, μὴ πλέω παιδὸς φρονεῖν.
ἐν παρθένοις δὲ παρθένου τρόπους ἔχειν.
ὅταν δ᾽ ὑπ᾽ ἀνδρὸς χλαῖναν εὐγενοῦς πέσῃς
τὰ δ᾽ ἄλλ᾽ ἀφεῖναι μηχανήματ᾽ ἀνδράσι.

Τοῦ αὐ-

Τοῦ αὐτοῦ.

σίγα πρὸς ἄνδρα μή τιν' αἰσχύνην λάβω
διακούουσα κρυπτὰ καβολῇ λόγος
οὐχ ἣν περ αὐτὴν ἡμεῖς ἐξελίασομεν.
τὰ γὰρ γυναικῶν δυσχερῆ πρὸς ἄρσενας
κἂν ταῖς κακαῖσιν ἀγαθαὶ μεμιγμέναι
μισούμεθ' οὕτω δυστυχεῖς πεφύκαμεν.

Τοῦ αὐτοῦ.

αὐτὴ δὲ πάντα συμφέρουσ' ἰάσονι.
ἥ περ μεγίστη γίγνεται σωτηρία,
ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ.

Τοῦ αὐτοῦ.

οὐ χρὴ 'πὶ σμικροῖς μεγάλα προσάπτειν κακά,
οὐδ' εἰ γυναῖκες ἐσμὲν ἀτηρὸν κακόν,
ἄνδρας γυναιξὶν ἐξομοιοῦσθαι φύσιν.

Μενάνδρου.

ἢ μὴ γαμεῖν γὰρ, ἂν δ' ἅπαξ λάβης φέρειν
μύσαντα πολλὴν προῖκα καὶ γυναῖκα δεῖ.
ἐκπυνθάνεσθαι τἀρσένων δ' ἡμᾶς σέθεν.
τὸ μὲν μέγιστον οὐ πρὸς ἀνδρὸς ἦ σοφὸν
λίαν φυλάσσειν ἄλοχον ἐν μυχοῖς δόμων.
ὁρᾷ γὰρ ὄψις τῇ θύραθεν ἡδονῆς·
ἐν δ' ἀφθόνοισι τοῖσδ' ἀναστρεφωμένη
βλέπουσά τ' εἰς πᾶν, καὶ παροῦσα πανταχοῦ,
τὴν ὄψιν ἐμπλήσασά τ' ἀπήλλακται κακῶν.
τότ' ἀρσένων ἀεὶ τοῦ κεκρυμμένου λίχνον.

ὅστις δὲ μοχλοῖς καὶ διὰ σφραγισμάτων
σώζει δάμαρτα δ᾽ ἀνδρεῖ δὴ δοκῶν σοφὸν,
μάταιός ἐστι καὶ φρονῶν οὐδὲν φρονεῖ.
ἧ τις γὰρ ἡμῶν καρδίαν θύραζ᾽ ἔχει
θᾶσσον μὲν ὀϊστοῦ καὶ πτερῶν χωρίζεται.
λάθοι δ᾽ ἂν Ἄργου τὰς πυκνοφθάλμους κόρας.
καὶ πρὸς κακοῖσι τότε δὴ μέγας γέλως.
ἀνήρ τ᾽ ἀχρεῖος καὶ γυνὴ διοίχεται.

Πλουτάρχου ἐκ τῶν γαμικῶν παραγγελμάτων.

Κόσμος ἐστὶν ὡς ἔλεγε Κράτης τὸ κοσμοῦν. κοσμεῖ δὲ τὸ κοσμιωτέραν γυναῖκα ποιοῦν. ποιεῖ δὲ τοιαύτην οὔτε χρυσὸς, οὔτε σμάραγδος, οὔτε κόκκος. ἀλλ᾽ ὅσα σεμνότητος, εὐταξίας, αἰδοῦς, ἔμφασιν περιτίθησιν.

Ἱπποκράτους.

Ἀλλ᾽ ὅμως χρῄζει γυνὴ σωφρονίζοντος. ἔχει γὰρ φύσει καὶ τὸ ἀκόλαστον ἐν ἑαυτῇ. ὅπερ εἰ μὴ καθ᾽ ἡμέραν ἀποκόπτοιτο ὡς τὰ δένδρεα, καθυλομανεῖ.

Δημοκρίτου.

Κόσμος ὀλιγομυθίη γυναικί. καλὸν δὲ καὶ κόσμου λιτότης.

Τὴν δὲ Ἠλείων ὁ Φειδίας Ἀφροδίτην ἐποίησε χελώνην πατοῦσαν. οἰκουρίας σύμβολον ταῖς γυναιξὶ, καὶ σιωπῆς.

Σωκράτους.

Τοὺς μὲν ἄνδρας τοῖς τῆς πόλεως νόμοις δεῖ πείθεσθαι. τὰς δὲ γυναῖκας τοῖς τῶν συνοικούντων ἀν-
δρῶν

δρῶν ἤθεσιν.

Επιχάρμου.

Σώφρονος γυναικὸς ἀρετὰ, τὸν συνόντα μὴ ἀδικεῖν ἄνδρα.

Ευσεβίου.

Γάμου ἀρίστη ξυμφωνία, ἀμφοτέρους σωφροσύνην ἀσκεῖν.

Σωκράτους.

Τοὺς μὲν ἄνδρας τοῖς τῆς πόλεως νόμοις δεῖ πείθεσθαι. τὰς δὲ γυναῖκας τοῖς τῶν ξυνοικούντων ἀνδρῶν ἤθεσι.

Υπερίδου.

Φοβητέον οὐκ ἀνδρὸς ἀπειλὴν, ἀλλὰ νόμου φωνήν.

Θεανὼ ἐρωτηθεῖσα ἡ πυθαγόρειος πῶς ἔνδοξος ἔσαι, ἔφη.

ἱσὸν ἐποιχομένη, καὶ ἐμὸν λέχος ἀντιόωσα.

Η αὐτὴ ἐρωτηθεῖσα τί πρέπον εἴη γυναικὶ, τὸ τῷ ἰδίῳ ἔφη ἀρέσκειν ἀνδρί.

ΠΕΡΙ ΤΟΥ ΓΝΩΘΙ ΣΑΥΤΟΝ.

Μενάνδρου.

ΤΟ γνῶθι σαυτὸν ἐστὶν, ἂν τὰ πράγματα ἴδῃς τὰ σαυτοῦ, καὶ τί σοι ποιητέον.

Φιλήμονος.

Ανθρωπος ὢν, τοῦτ᾽ ἴσθι, καὶ μέμνησ᾽ ἀεί.

Διφίλου.

ἂν γνῷς τί ἔστιν ἄνθρωπος ἡδίων ἔσῃ.

Ἀντιφάνους.

εἰ θνητὸς εἶ βέλτιστε, θνητὰ καὶ φρόνει.

Μενάνδρου.

κατὰ πολλ᾽ ἂν ἔστιν οὐ καλῶς εἰρημένον
τὸ γνῶθι σαυτόν. χρησιμώτερον γὰρ ἦν
τὸ γνῶθι τοὺς ἄλλους.

Ἐν χαιρωνείᾳ τοὺς ἀθηναίους μάχῃ ἐνίκησεν ὁ φίλιππος, ἐπαρθεὶς τῇ εὐπραγίᾳ, ὅμως λογισμοῦ ἐκράτησε, καὶ οὐχ ὕβρισε, καὶ διὰ ταῦτα ᾤετο δεῖν αὐτὸν ὑπομιμνήσκεσθαι ὑπό τινος τῶν παίδων ἕωθεν ὅτι ἄνθρωπος ἐστίν.

Πλουτάρχου.

Καὶ μὴν οἶνοί τε καὶ σαρκῶν ἐμφορήσεις· σῶμα μὲν ἰσχυρὸν ποιοῦσι καὶ ῥωμαλέον· ψυχὴν δὲ ἀσθενῆ. καὶ χρημάτων ἐπιμέλεια μὲν συνεχὴς καὶ τήρησις αὔξει πλοῦτον. ἀνυποτροφία δὲ καὶ σωφροσύνη μέγα πρὸς φιλοσοφίαν ἐφόδιον. ὅθεν οὐ πάντα πάντων ἐστὶν, ἀλλὰ δεῖ τῷ πυθικῷ γράμματι πειθόμενον, αὐτὸν καταμαθεῖν, εἰ χρῆσθαι πρὸς ἓν ὃ πέφυκε καὶ μὴ πρὸς ἄλλον ἄλλοτε βίου ζῆλον ἕλκειν, καὶ παραβιάζεσθαι τὴν φύσιν.

Σωκράτης ἐρωτηθεὶς διὰ τί οὐ συγγράφει, ὅτι εἶπεν ὁρῶ τὰ χαρτία πολὺ τῶν γραφησομένων τιμιώτερα.

Θεόκριτος ἐρωτηθεὶς διὰ τί οὐ συγγράφει, ὅτι εἶπεν

ὡς μὲν

ὡς μὴ βούλομαι οὐ δύναμαι, ὡς δὲ δύναμαι, οὐ βούλομαι.

Βίαντος.

Θεώρει ὥσπερ ἐν κατόπτρῳ τὰς σαυτοῦ πράξεις. ἵνα τὰς μὲν καλὰς ἐπικοσμῇς, τὰς δὲ αἰσχρὰς καλύπτῃς.

Γνῶθι σαυτὸν ἡ μαρτυρία παραλαμβάνεται. μαρτυρεῖ θεόφραστος ἐν τῷ περὶ παροιμιῶν. οἱ πολλοὶ δὲ χείλωνος εἶναι τὸ ἀπόφθεγμα. κλέαρχος δὲ ὑπὸ τοῦ θεοῦ λεχθῆναι χείλωνι.

Χείλων ἐρωτηθεὶς τί χαλεπώτατον, τὸ γινώσκειν ἑαυτὸν ἔφη. πολλὰ γὰρ ὑπὸ φιλαυτίας ἕκαστον ἑαυτῷ προστιθέναι.

ΨΟΓΟΣ ΓΗΡΩΣ.

Εὐριπίδου.

ΦΕΥ φεῦ τὸ γῆρας ὡς ἔχει πολλὰς νόσους.
γέροντι δ' οὐχ οἷόν τε μηκύνειν χρόνον.
μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει.

Τοῦ αὐτοῦ.

φεῦ φεῦ, παλαιὸς αἶνος ὡς καλῶς ἔχει.
γέροντες οὐδέν ἐσμεν ἄλλο πλὴν ὄχλος.
καὶ σχῆμ'. ὀνείρων δ' ἕρπομεν μιμήματα.
νοῦς δ' οὐκ ἔτ' ἔστιν, οἰόμεσθα δ' εὖ φρονεῖν.

Τοῦ αὐτοῦ.

ὡς δύσκολον τὸ γῆρας ἀνθρώποις ἔφυ.

Τοῦ αὐτοῦ.

ὅς τις δὲ θνητῶν βούλεται δυσώνυμον

εἰς γῆρας ἐλθεῖν, οὐ λογίζεται καλῶς.
μακρὸς γὰρ αἰὼν μυρίους τίκτει νόσους.

Τοῦ αὐτοῦ.

τί δ' ἄλλ' ἢ φωνὴ καὶ σκιὰ γέρων ἀνήρ.

Μενάνδρου.

ὁ χληρὸν ὁ χρόνος ὁ πολὺς, τὸ γῆρας βαρὺ
ὡς οὐδὲν ἀγαθὸν, δυσχερῆ δὲ πολλ' ἔχεις,
τοῖς ζῶσι, καὶ λυπηρά. πάντες εἰς σὲ δὲ
ἐλθεῖν ὅμως εὐχόμεθα καὶ σπουδάζομεν.

Θεόγνιδος.

οὔτε γε μὴν πενίης θυμοφθόρου μελεδαίνω
οὐδ' ἀνδρῶν ἐχθρῶν οἵ με λέγουσι κακῶς.
ἀλλ' ἥβην ἐρατὴν ὀλοφύρομαι. ἥ μ' ἐπιλείπει.
κλαίω δ' ἀργαλέον γῆρας ἐπερχόμενον.

Τοῦ αὐτοῦ.

ὤμοι ἐγὼν ἥβης τε καὶ γήραος οὐλομένοιο,
τοῦ μὲν ἐπερχομένου, τῆς δ' ἀπονισσομένης.

Φερεκράτους.

ὦ γῆρας ὡς ἐπαχθὲς ἀνθρώποισιν εἶ,
καὶ πανταχῇ λυπηρὸν οὐ καθ' ἓν μόνον.
ἐν ᾧ γὰρ οὐδὲν δυνάμεθ' οὐδ' ἰσχύομεν,
σὺ τηνικαῦθ' ἡμᾶς προδιδάσκεις εὖ φρονεῖν.
εἰκῇ μ' ἐπ' γῆρας ὄντα τηλικουτονί,
πολλοῖς ἐμαυτὸν ἐγκυλίσαι πράγμασιν.
ἐγὼ γὰρ ὦ ἄνδρες ἡνίκ' ἦν νεώτερος
ἐδόκουν μὲν, ἐφρόνουν δ' οὐδὲν, ἀλλὰ πάντα μοι

κἀπὶ χειρὸς ἦν τὰ πράγματ' εὐθυμουμένῳ.
νῦν δ' ἄρτιμοι τὸ γῆρας ἐντίθησι νοῦν.

Ἀντιφάνους.

σφόδρα τι ἔστιν ὁ βίος ἡμῶν οἴνῳ προσφερής.
ὅταν ᾖ τὸ λοιπὸν μικρὸν, ὄξος γίνεται.

Τοῦ αὐτοῦ.

πρὸς γὰρ τὸ γῆρας ὥσπερ ἐργαστήριον
ἅπαντα τἀνθρώπινα προσφοιτᾷ κακά.

Τοῦ αὐτοῦ.

τὸ γῆρας ὥσπερ βωμός ἐστι τῶν κακῶν.
πάντ' ἐστ' ἰδεῖν εἰς τοῦτο καταπεφευγότα.

Τοῦ αὐτοῦ.

γῆρας ὡς ἅπασι τοῖς ζητοῦσι σε
ψέγειν ἀφορμὰς παραδίδως τοῦ πράγματος.

Ἀλέξιδος.

ἤδη γὰρ ὁ βίος οὑμὸς ἑσπέραν ἄγει.

Μενάνδρου.

πικρόν ἐστι γέρων ἐν οἰκίᾳ μένων.

Ἡρώδου.

ἐπὴν τὸν ἑξηκοστὸν ἥλιον κάμψης
ὦ γρύλλε γρύλλε, θνῆσκε καὶ τέφρη γίνου.
ὡς τυφλὸς ὁ ὑπὲρ κεῖνο τοῦ βίου καμπτήρ.

Ἀντιφάνους.

οὐδεὶς τὰ πατρῷα πω γέρων κατεδήδοκεν
ἀλλ' οὐδὲ κατεμώρανεν, οὐδ' ἐλύσατο πρευίδιον,
οὐδὲ θυροκόπων ὦφλε δίκην.

S οὕτω τὸ

οὕτω τὸ γῆρας σωφρονοῦσιν οὐκ ἐντυχεῖ.

Μενεκράτους.

γῆρας ἐπὰν μὲν ἀπῇ, πᾶς τις εὔχεται. ἢν δέ ποτ' ἔλθῃ
μέμφεται. ἔστι δ' ἀεὶ κρεῖσσον ὀφειλόμενον.

Σοφοκλέους.

οὐδὲν γὰρ ἄλγος οἷον ἡ πολλὴ ζωή.
πάντ' ἐμπέφυκε τῷ μακρῷ γήρᾳ κακὰ,
νοῦς φροῦδος, ἔργ' ἀχρεῖα, φροντίδες κεναί.

Κράτητος.

ὁ γὰρ χρόνος μ' ἔκαμψε τέκτων μὲν σοφὸς,
ἅπαντα δ' ἐργαζόμενος ἀσθενέστερα.

Διφίλου.

Πολιὸς τεχνίτης ἐστὶν ὁ χρόνος ὦ ξένε.
χαίρει μεταπλάττειν πάντας ἐπὶ τὰ χείρονα.

Εὐριπίδου.

ἀλλ' ἢ τὸ γῆρας τὴν κύπριν χαίρειν ἐᾷ
ἥτ' ἀφροδίτη τοῖς γέρουσιν ἄχθεται.

Τοῦ αὐτοῦ.

ὦ γῆρας, οἷον τοῖς ἔχουσιν εἶ κακόν.

Τοῦ αὐτοῦ.

ἀνειμένον τι χρῆμα πρεσβυτῶν γένος
καὶ δυσφύλακτον ὀξυθυμίας ὕπο.

Ἰσοκράτους.

Ἀλλ' οὕτω τὸ γῆρας ἐστὶ δυσάρεστον καὶ μεμψίμοιρον καὶ μικρολόγον, ὥστε πολλάκις ἤδη τήν τε φύσιν τὴν ἐμαυτοῦ κατεμεμψάμην, ἧς οὐδεὶς ἄλλος κα-

ταπε-

πεπεφρόνηκεν.

Ἐρατοσθένης τῆς ἡλικίας ἔφη τὸ μὲν ἀκμαῖον ἔαρ εἶναι. τὸ δὲ μετὰ ἀκμὴν θέρος καὶ φθινόπωρον. χειμῶνα δὲ τὸ γῆρας.

Δημοκρίτου.

Αὐξανομένου τοῦ σώματος, συναυξάνονται φρένες. γηράσκοντος δὲ συγγηράσκουσι, καὶ εἰς τὰ πράγματα τὰ πάντα ἀμβλύνονται.

Καὶ τῷ γέροντι πονηρευομένῳ ἔφη. τί ἄνθρωπε τῷ γήρᾳ κακὰ πολλὰ ἔχοντι, τὴν ἐκ τῆς πονηρίας αἰσχύνην προστίθης.

Ἄλεξις ὁ τῶν κωμῳδιῶν ποιητὴς ἐπειδή τις αὐτὸν ὄντα πρεσβύτην ἑώρα μόλις πορευόμενον, καὶ ἠρώτα τί ποιεῖς, ἔφη κατὰ σχολὴν ἀποθνήσκω.

Πατροκλῆς τὸ γῆρας, τοῦ βίου ἔλεγε χειμῶνα.

ΟΤΙ ΤΟ ΓΗΡΑΣ ἀνεπαχθές.

Ἀναξανδρίδου.

ΟΝτι τὸ γῆρας οὐκ ἔστιν ὡς οἴει πάτερ
τῶν φορτίων μέγιστον, ἀλλ᾽ ὃς ἂν φέρῃ
ἀγνωμόνως αὐτ᾽ οὗτός ἐστιν αἴτιος.
οὐδ᾽ εὐκόλως ἐνίοτε κοιμίζειν ποιεῖ
μελαγχολαμμαίνων ὑπεκλέξει αὐτοῦ τὸν τρόπον
λύπην τ᾽ ἀφαιρῶν, ἡδονήν τε προστιθεὶς

λύπην δὲ τρίτην, εἴ τις δυσκόλως ἔχει.

Σοφοκλέους.

οὐκ ἔστι γῆρας τῶν σοφῶν ἐν οἷς ὁ νοῦς
θεία ξύνεστιν ἡμέρᾳ τεθραμμένος.
προμήθεια γὰρ κέρδος ἀνθρώποις μέγα.

Αναξιμένους.

Τοῖς γὰρ ἀστείοις πρεσβεύουσιν, ὅσον αἱ περὶ τὸ σῶμα ἡδοναὶ ἀπομαραίνονται, τοσοῦτον αἱ περὶ τοὺς λόγους ἐπιθυμίαι πάλιν αὐξάνονται.

Σωκράτους.

Ο μὲν χειμὼν, σκέπης. τὸ δὲ γῆρας ἀλυπίας δεῖται.

Ξενοφῶν περὶ ἀγησιλάου φησί. ποίας γὰρ νεότητος οὐ κρεῖττον τὸ ἐκείνου γῆρας.

ΠΕΡΙ ΓΡΑΜΜΑΤΩΝ.

Καλλιμάχου.

ΚΑΙ γὰρ ἐγὼ τὰ μὲν ὅσσα καρήατι τῆμος ἔδωκα
ξανθὰ σὺν εὐόδμοις ἀκραλιπῆ στεφάνοις,
ἄπνοα πάντ' ἐγένοντο παραχρῆμα. ὅσσα τ' ὀδόντων
ἔνδοθι νειαίραν τ' εἰς ἀχάριστον ἔδυ,
καὶ τῶν οὐδὲν ἔμεινεν εἰσαύριον. ὅσσα δ' ἀκουὰς
εἰσεθέμην ἔτι μοι μοῦνα πάρεστι τάδε.

Εὐριπίδου.

τὰ τῆς γε λήθης φάρμακ' ὀρθώσας μόνον

ἄφωνα

ἄφωνα καὶ φωνοῦντα συλλαβὰς τιθεὶς,
ἐξεῦρον ἀνθρώποισι γράμματ' εἰδέναι.
ὥστ' οὐ παρόντα ποντίας ὑπὲρ πλακὸς
τἀκεῖ κατ' οἴκους πάντ' ἐπίσασθαι καλῶς.
παισί τ' ἀποθνήσκοντα χρημάτων μέτρον
γράψαντας εἰπεῖν, τὸν λαβόντα δ' εἰδέναι.
ἃ δ' εἰς ἔριν πίπτουσιν ἀνθρώποις κακὰ,
δέλτος διαιρεῖ, κοὐκ ἐᾶ ψευδῆ λέγειν.

Αἰσχύλου.

καὶ μὴν ἀριθμὸν ἔξοχον σοφισμάτων
ἐξεῦρον αὐτοῖς. γραμμάτων δὲ ξυνθέσιν
μνήμην ἁπάντων μουσομήτορ' ἐργάτιν.

Εὐριπίδου.

καὶ τῶν παλαιῶν πολλ' ἔπη καλῶς ἔχει,
λόγου γὰρ ἐσθλοῦ φάρμακον φόβου βροτοῖς.

Τοῦ αὐτοῦ.

οὐ παύσομαι τὰς χάριτας ταῖς μούσαις συγκαταμιγνύς.
ἡδίσταν συζυγίαν, μὴ ζώην μετ' ἀμουσίας.

Φιλήμονος.

Οὐχὶ μόνον οὗτος εὗρε πῶς λαλήσομεν αὐτοῖς ἀπέχοντες πλεῖν ἀπ' ἀλλήλων χρόνον. οὐδ' ὃν τρόπον μηδέ ποτε μὴ δὲ εἰς πάλιν ἀπολήψεθ' ἡμῶν μηδὲν ἐμβλέψας δέ που τἀκ τοῦ χρόνου τοῦ παντός, εἰσέτ', ἀλλὰ ψυχῆς ἰατρὸν κατέλιπε τὰ γράμματα.

Δημοκρίτου.

ἰσχυρὸν οὖν πειθὼ λόγος γίγνεται.

Σωκράτους.
Ἐν μὲν πολέμῳ πρὸς ἀσφάλειαν σίδηρος χρυσοῦ
κρείττων. ἐν δὲ τῷ ζῆν, ὁ λόγος τοῦ πλούτου.
Ὁ λόγος ὥσπερ πλάστης ἀγαθὸς καλὸν τῇ ψυχῇ
περιτίθησι σχῆμα.

ΠΕΡΙ ΔΕΙΛΙΑΣ.

Σοφοκλέους.
Πάντα τοι τῷ φοβουμένῳ ψοφεῖ.
Εὐριπίδου.
δειλοὶ γὰρ ἄνδρες οὐκ ἔχουσιν ἐν μάχῃ
ἀριθμόν, ἀλλ᾽ ἄπεισι κἂν παρῶσιν ὅμως.
Σοφοκλέους.
τοὺς εὐγενεῖς γὰρ κἀγαθοὺς ὦ παῖ φιλεῖ
ἄρης συναίρειν. οἱ δὲ τῇ γλώσσῃ θρασεῖς
φεύγοντες ἄτας ἐκτός εἰσι τῶν κακῶν.
ἄρης γὰρ οὐδὲν τῶν κακῶν λογίζεται.
Εὐριπίδης.
οὔτοι νομίζω σοφὸν ὃς ἂν μέλλων θανεῖν
οἴκτῳ τὸ δεῖμα τοὐλέθρου νικᾶν θέλει.
Φιλήμονος.
καλὴ μὲν ὄψις, ἐν δὲ δειλαῖαι φρένες.
Εὐριπίδου.
ὁ δ᾽ ἡδὺς αἰών, ἡ κακή τ᾽ ἀνανδρεία
οὔτ᾽ οἶκον οὔτε πόλιν ὀρθώσειεν ἄν.

Σοφο-

Σοφοκλέους.

βοᾶτις ὦ ἀκούετε, ἢ μάτην ὑλακτῶ.
πάντα γάρ τοι τῷ φοβουμένῳ ψοφεῖ.

Ὁμήρου.

τίπτε σὺ δείδοικας πόλεμον καὶ δηϊοτῆτα;
εἴπερ γάρ τ᾽ ἄλλοι γε περικτεινόμεθα πάντες
νηυσὶν ἐπ᾽ ἀργείων, σοὶ δ᾽ οὐ δέος ἔστ᾽ ἀπολέσθαι.
οὐ γάρ τοι κραδίη μενεδήϊος οὐδὲ μαχήμων.

Διογένους.

Πάντα μὲν οὖν τὰ δεινὰ πέφυκε μᾶλλον ἐκπλήττειν τοὺς προσδεχομένους, ἢ λυπεῖν τοὺς πειραθέντας. ὁ δὲ φόβος οὕτω χαλεπός ἐστιν, ὥς τε πολλοὶ ἤδη προέλαβον τὸ ἔργον. οἱ μὲν ἐν νηὶ χειμαζόμενοι οὐ περιμείναντες καταδῦναι τὴν ναῦν, ἀλλὰ πρότερον αὐτοὺς ἀποσφάξαντες.

ΠΕΡΙ ΔΙΚΑΙΟΣΥΝΗΣ.

Εὐριπίδου.

Ἐσθλοῦ γὰρ ἀνδρὸς τῇ δίκῃ θ᾽ ὑπηρετεῖν
καὶ τοὺς κακοὺς δρᾶν πανταχοῦ κακῶς ἀεί.

Σοφοκλέους.

μὴ δ᾽ ἡ βία σε μηδαμῶς νικησάτω
τοσόνδε μισεῖν, ὥς τε τὴν δίκην πατεῖν.

Μενάνδρου.

χρηστοῦ πρὸς ἀνδρὸς μηδὲν ἐννόει κακόν,

δίκαιος ἀδικεῖν οὐκ ἐπίσταται τρόπος.

Τοῦ αὐτοῦ.

δίκαιος ἂν ᾖς, τῷ τρόπῳ χρήσῃ νόμῳ.

Τοῦ αὐτοῦ.

τὸ μηδὲν ἀδικεῖν, πᾶσιν ἀνθρώποις πρέπει.

Τοῦ αὐτοῦ.

οὐ δεῖ γὰρ ἀδικεῖν τοὺς ἱκέτας. ἄλλως τε
καὶ ὅταν μετ' ἐννοίας τινὸς μὴ πονηρᾶς
πταίσωσιν. αἰσχρὸν γὰρ τοῦτ' ἐστὶ πάνυ.

Εὐριπίδου.

κρεῖσσον δὲ πλούτου καὶ πολυχρύσου χλιδῆς
ἀνδρῶν δικαίων κἀγαθῶν παρουσίαι.

Τοῦ αὐτοῦ.

εἷς τοι δίκαιος μυρίων οὐκ ἐνδίκων
κρατεῖ, τὸ θεῖον τὴν δίκην τε συλλαβών.

Τοῦ αὐτοῦ.

φεῦ φεῦ τὸ νικᾶν τὰ δίκαια ὡς καλὸν μέγα,
τὰ μὴ δίκαια δὲ ὡς ἅπαντα χοῦ κακόν.
καὶ γλῶσσα γαῦρα, καὶ φθόνος τοῦ μὴ φθονεῖν,
ὅσῳ κάκιον μὴ καλῶς ὀγκωμένοις.

Ἀντιφάνους.

ὁ μηδὲν ἀδικῶν οὐδενὸς δεῖται νόμου.
ὁ καλῶς ἔχων που κρεῖττον ἐστὶ καὶ νόμου.

Σόλωνος.

μνημοσύνης καὶ ζηνὸς ὀλυμπίου ἀγλαὰ τέκνα
μοῦσαι πιερίδες κλῦτέ μοι εὐχομένῳ.

ὄλβον

ὄλβον μοι πρὸς θεῶν μακάρων δότε, καὶ πρὸς ἁπάντων
ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν.
εἶναι δὲ γλυκὺν ὧδε φίλοις. ἐχθροῖσι δὲ πικρόν.
τοῖσι μὲν αἰδοῖον. τοῖσι δὲ πικρὸν ἰδεῖν.
χρήματα δ' ἱμείρω μὲν ἔχειν. ἀδίκως δὲ πεπᾶσθαι
οὐκ ἐθέλω. πάντως ὕστερον ἦλθε δίκη.
πλοῦτον δ' ὃν μὲν δῶσι θεοὶ παραγίγνεται ἀνδρὶ
ἔμπεδος ἐκ νεάτου πυθμένος ἐς κορυφήν.
ὃν δ' ἄνδρες τιμῶσιν ὑφ' ὕβριος οὐ κατὰ κόσμον,
ἀλλ' ἀδίκοις ἔργμασι πειθόμενος.
οὐκ ἐθέλων ἕπεται. ταχέως δ' ἀναμίσγεται ἄτη,
ἀρχὴ δ' ἐξ ὀλίγου γίγνεται ὥς τε πυρός.
φλαύρη μὲν τὸ πρῶτον ἀνιηρὴ δὲ τελευτᾷ.
οὐ γὰρ δὴν θνητοῖς ὕβριος ἔργα πέλει.
ἀλλὰ ζεὺς πάντων ἐφορᾷ τέλος. ἐξαπίνης δὲ
ὥς τ' ἄνεμος νεφέλας αἶψα διεσκέδασεν.
ἠρινὸς, ὃς πόντου πολυκύμονος ἀτρυγέτοιο
πυθμένα κινήσας γῆν κατὰ πυροφόρον,
δηώσας καλὰ ἔργα, θεῶν ἕδος αἰπὺν ἱκάνει
οὐρανόν. αἰθρίην δ' αὖθις ἔθηκεν ἰδεῖν.
λάμπει δ' ἠελίοιο μένος κατὰ γαῖαν καλόν,
αὐτὰρ νεφέων οὐδὲν ἔτ' ἐστὶν ἰδεῖν.
τοιαύτη ζηνὸς πέλεται τίσις οὐδ' ἐφ' ἑκάστῳ
ὥσπερ θνητὸς ἀνὴρ γίγνεται ὀξύχολος
αἰεὶ δ' οὔ τε λέληθε διαμπερὲς ὅς τις ἀλιτρὸν
θυμὸν ἔχει. πάντως δ' ἐς τέλος ἐξεφάνη.

ἀλλ' ὁ μὲν αὐτίκ' ἔτισεν. ὁ δ' ὕστερον. οἳ δὲ φύγωσιν
αὐτοὶ μηδὲ θεῶν μοῖρ' ἐπιοῦσα κίχῃ.
ἤλυθε πάντως. αὐτίκ' ἀναίτια ἔργα τίνουσιν.
ἢ παῖδες τούτων ἡγεμόνων ὀπίσω.
θνητοὶ δ' ὧδε νοοῦμεν ὁμῶς ἀγαθός τε κακός τε.
ἐν δὴν ἣν αὐτὸς δόξαν ἕκαστος ἔχει·
πρίν τι παθεῖν, τότε δ' αὖτις ὀδύρεται. ἄχρι δὲ τούτου
χάσκοντες κούφαις ἐλπίσι τερπόμεθα.
χ' ὥς τις μὲν νούσοισιν ὑπ' ἀργαλέοισι πιεσθῇ
ὡς ὑγιὴς ἔσται τοῦτο κατεφράσατο.
ἄλλος δειλὸς ἐὼν ἀγαθὸς δοκεῖ ἔμμεναι ἀνὴρ
καὶ καλὸς μορφὴν οὐ χαρίεσσαν ἔχων.
εἰ δέ τις ἀχρήμων, πενίης δέ μιν ἔργα βιᾶται,
κτήσασθαι πάντων χρήματα πολλὰ δοκεῖ.
σπεύδει δ' ἄλλοθεν ἄλλος. ὁ μὲν κατὰ πόντον ἀλᾶται
ἐν νηυσὶ, χρῄζων οἴκαδε κέρδος ἄγειν,
ἰχθυόεντ' ἀνέμοισι φορεύμενος ἀργαλέοισι,
φειδωλὴν ψυχῆς οὐδεμίαν θέμενος.
ἄλλος γῆν τέμνων πολυδένδρεον εἰς ἐνιαυτὸν
λατρεύει, τοῖσι καμπύλ' ἄροτρα μένει.
ἄλλος ἀθηναίης τε καὶ ἡφαίστου πολυτέχνεω
ἔργαλα εἰς χειροῖν ξυλλέγεται βίοτον.
ἄλλος ὀλυμπιάδων μουσάων πάρα δῶρα διδαχθεὶς
ἱμερτῆς σοφίης μέτρον ἐπιστάμενος.
ἄλλον μάντιν ἔθηκεν ἄναξ ἑκάεργος ἀπόλλων,
ἔγνω δ' ἀνδρὶ κακὸν τηλόθεν ἐρχόμενον.

ᾧ συνο-

ᾧ συνομαρτήσωσι θεοί, τὰ δὲ μόρσιμα πάντως
οὔτε τις οἰωνὸς ῥύσεται, οὔθ' ἱερά.
ἄλλοι παιῶνος πολυφαρμάκου ἔργα ἔχοντες
ἰητροί, καὶ τοῖς οὐδὲν ἔπεστι τέλος.
πολλάκι δ' ἐξ ὀλίγης ὀδύνης μέγα γίνεται ἄλγος
κοὐκ ἄν τις λύσαι ἤπια φάρμακα δούς.
τὸν δὲ κακαῖς νούσοισι κυκώμενον ἀργαλέαις τε
ἁψάμενος χειροῖν, αἶψα τίθησ' ὑγιῆ.
μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει ἠδὲ καὶ ἐσθλόν,
δῶρα δ' ἄφυκτα θεῶν γίνεται ἀθανάτων.
πᾶσι δέ τοι κίνδυνος ἐφ' ἔργμασιν, οὐδέ τις οἶδε
πῆ μέλλει σχήσειν χρήματος ἀρχομένου.
ἀλλ' ὁ μὲν εὖ ἔρδειν πειρώμενος οὐ προνοήσας
εἰς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν.
τῷ δὲ καλῶς ἔρδοντι θεὸς περὶ πάντα δίδωσι,
συντυχίην ἀγαθήν, ἔκλυσιν ἀφροσύνης.
πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται.
οἱ γὰρ νῦν ἡμέων πλεῖστον ἔχουσι βίον,
διπλασίως σπεύδουσι, τίς ἂν κορέσειεν ἅπαντας;
κέρδεά τοι θνητοῖς ὤπασαν ἀθάνατοι.
ἄτη δ' ἐξ αὐτῶν ἀναφαίνεται, ἣν ὁπόταν Ζεὺς
πέμψει τισομένην, ἄλλοτε τ' ἄλλος ἔχει.

Ἀγησιλάου.

Ἀνδρείας μὲν γὰρ οὐδὲν ὄφελος μὴ παρούσης δικαιοσύνης. εἰ δὲ δίκαιοι πάντες γίνοιντο, μὴ δὲ ἀνδρείας δεήσεσθαι.

Δημοσθένους.

Ἄξιον τούτους ἐπαινεῖν τῶν ἀνθρώπων, οἳ μηδεμίαν ὠφέλειαν προαιροῦνται τοῦ δικαίου. χρήματα μὲν γάρ ἐστι κτήσασθαι. δόξαν δὲ χρηστὴν οὐ ῥᾴδιον πρίασθαι.

Δημοκρίτου.

ἀγαθὸν οὐ τὸ μὴ ἀδικεῖν, ἀλλὰ τὸ μὴ ἐθέλειν.

Τοῦ αὐτοῦ.

μοῦνοι θεοφιλέες ὅσοις ἐχθρὸν τὸ ἀδικέειν.

Ἀριστείδης ὁ δίκαιος ἐρωτηθεὶς τί ἐστι τὸ δίκαιον, τὸ μὴ ἀλλοτρίων ἐπιθυμεῖν ἔφη.

Αἰσχρὸν τὸν δικαστὴν πρὸς ἑτέρων δικάζεσθαι.

ΠΕΡΙ ΔΙΑΒΟΛΗΣ.

Μενάνδρου.

Οὐδέν διαβολῆς ἐστιν ἐπιπονώτερον.
τὴν ἐν ἑτέρῳ γὰρ κειμένην ἁμαρτίαν
ἀεὶ μέμψιν ἰδίαν αὐτὴν ἐπάναγκες λαβεῖν.

Τοῦ αὐτοῦ.

τὸ δοκεῖν διαβολὴν ἔχει μείζω τοῦ ποιεῖν.

Τοῦ αὐτοῦ.

ὅς τις δὲ διαβολαῖσι πείθεται ταχὺ
ἤτοι πονηρός ἐστιν αὐτὸς τοὺς τρόπους
ἢ παντάπασι παιδαρίου γνώμην ἔχει.

Τοῦ αὐ-

Τοῦ αὐτοῦ.

Οὐ δεῖ διαβολῆς καταφρονεῖν, οὐδ' ἂν σφόδρα ᾖ ψευδής·
ἐπίσταντ' αὔξειν αὐτὴν τινὰς, δι' οὓς
φυλάττεσθαι τὰ τοιαῦτα ὀρθῶς ἔχει.

Κλεάνθους.

κακουργότερον οὐδέν διαβολῆς ἐστί πω.
λάθρα γὰρ ἀπατήσασα τὸν πεπεισμένον
μῖσος ἀναπλάττει πρὸς τὸν οὐδὲν αἴτιον.

Ἰσοκράτους.

Εὐλαβοῦ τὰς διαβολὰς κἂν ψευδεῖς ὦσιν. οἱ γὰρ πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι. πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσι.

Δημοσθένους.

Διαβολὴ καιρῷ μὲν ἰσχυρὰν ἐργάζεται τοῖς ἀκούσι τὴν ὑπόληψιν. χρόνῳ δὲ πάντων ἀσθενεστέρα γίνεται.

ΠΕΡΙ ΕΥΓΕΝΕΙΑΣ.

ὅτι εὐγενεῖς οἱ κατ' ἀρετὴν ζῶντες.

Εὐριπίδου.

Περισσόμυθος ὁ λόγος
εὐγένειαν εἰ βρότειον εὐλογήσομεν.
τὸ γὰρ πάλαι καὶ πρῶτον
ὅτ' ἐγιγνόμεσθα διὰ δ' ἔκρινεν
ἁ τεκοῦσα γᾶ βροτοὺς

ὁμοίαν χθὼν ἅπασιν
ἐξεπαίδευσεν ὄψιν.
ἴδιον οὐδὲν ἔχομεν.
μία δὲ γονὰ τό τ' εὐγενὲς καὶ τὸ δυσγενές.
νόμῳ δὲ γαῦρον αὐτὸ κραίνει χρόνος.
τὸ φρόνιμον εὐγένεια, καὶ τὸ συνετὸν ὁ θεὸς
δίδωσιν οὐχ ὁ πλοῦτος.

Τοῦ αὐτοῦ.

οὐ μὴ φρονήσηθ' οἱ κενῶν δοξασμάτων
πλήρεις πλανᾶσθε, τῇ δ' ὁμιλίᾳ βροτοὺς
κρίνετε. καὶ τοῖς ἤθεσι τοὺς εὐγενεῖς.
οἱ γὰρ τοιοίδε τὰς πόλεις οἰκοῦσιν εὖ
καὶ δώμαθ'. αἱ δὲ σάρκες αἱ κεναὶ βροτῶν

Ἀνάχαρσις ὀνειδιζόμενος ὅτι σκύθης ἐστὶν, εἶπεν
τῷ γένει, ἀλλ' οὐ τῷ τρόπῳ.

Φαλαρειδος.

Σεμνύνεσθαι μὲν ὥσπερ ἐπ' ἄλλῳ τινὶ τῶν καλῶν
ἐπ' εὐγενείᾳ οὐκ ἀπεικός ἐστι.

Εὐριπίδου.

εἰς δ' εὐγένειαν ὀλίγ' ἔχω φράσαι καλά.
ὁ μὲν γὰρ ἐσθλὸς, εὐγενὴς ἔμοιγ' ἀνήρ.
ὁ δ' οὐ δίκαιος καὶ ἀμείνονος πατρὸς
Ζηνὸς πέφυκε, δυσγενὴς εἶναι δοκεῖ.

Θεοδέκτου.

ἐγὼ μὲν οὔποτ' εὐγένειαν ᾔνεσα
τὴν προσταῖσι χρωμένην ἀναξίοις.

Επι

Ἐπιχάρμου.

ἀπολεῖ με τὸ γένος. μὴ λέγ᾽ εἰ φιλεῖς ἐμέ.
μήτ᾽ ἐφ᾽ ἑκάστῳ τὸ γένος. οἷς ἂν φύσει
ἀγαθὸν ὑπάρχει μηδὲν οἰκεῖον πρόσον,
ἐκεῖσε καταφεύγουσιν εἰς κτήματα
καὶ τὸ γένος. ἀριθμοῦσι τε τοὺς πάππους.
οὐδ᾽ ἕνα δ᾽ ἔχοις ἰδεῖν ἂν οὐδ᾽ εἰπεῖν ὅτῳ
οὐκ εἰσὶ πάπποι. πῶς γὰρ ἐγένοντό ποτε;
εἰ μὴ λέγειν δ᾽ ἔχουσι τούτους διά τινα
τόπου μεταβολὴν ἢ φίλων ἐρημίαν,
τί τῶν λεγόντων εἰσὶ δυσγενέστεροι;
ὅσ᾽ ἂν εὖ φύσει πρὸς τἀγαθά·
κἂν αἰθίοψ ἡ μήτηρ ἐστὶν εὐγενής.
σκύθης τὶς ὄλεθρος, ὁ δ᾽ ἀνάχαρσις οὐ σκύθης.

Εὐριπίδου.

οὐκ ἔστιν ἐν κακοῖσιν εὐγένεια,
ἐπ᾽ ἀγαθοῖσι δ᾽ ἀνδρῶν.

Μενάνδρου.

οὐθὲν γένους γένος γὰρ οἶμαι διαφέρειν.
ἀλλ᾽ εἰ δικαίως ἐξετάσης καὶ γνήσιος
ὁ χρυσός ἐστιν. ὁ δὲ πονηρὸς καὶ νόθος.

Εὐριπίδου.

ἦ που κρεῖσσον εὐγενείας τὸ καλῶς πράσσειν.

Αστυδάμαντος.

γένους δ᾽ ἔπαινός ἐστιν ἀσφαλέστατος
κατ᾽ ἄνδρ᾽ ἐπαινεῖν ὅς τις ἂν δίκαιος ᾖ,

τρόπους

τρόπου τ' ἄριστος, τοῦτον εὐγενῆ καλεῖν.
ἕνεκα τοῦ ἐστιν εὑρεῖν ἄνδρ' ἕνα.
καὶ τοῦτον οἱ ζητοῦντες εἰσὶ μυρίοι.

Εὐριπίδου.

φειδώμεθ' ἀνδρῶν εὐγενῶν φειδώμεθα,
κακοὺς δ' ἀποπτύωμεν ὥσπερ ἄξιοι.

Τοῦ αὐτοῦ.

ἐγὼ μὲν οὐκ οἶδ' ὅπως χρὴ σκοπεῖν χρεὼν
τὴν εὐγένειαν. τοὺς γὰρ ἀνδρείους φύσιν,
καὶ τοὺς δικαίους τῶν τέκνων δοξασμάτων
κἂν ὦσι δούλων εὐγενεστέρους λέγω.

Σώστρατος ὁ αὐλητὴς ὀνειδιζόμενος ὑπό τινος ὡς ἐκ γονέων ἀσήμων εἴη, εἶπεν. καὶ μὴν διὰ τοῦτο ὤφειλον θαυμάζεσθαι μᾶλλον ὅτι ἀπ' ἐμοῦ τὸ γένος ἄρχεται.

Σωκράτης ἐρωτηθεὶς τί ἐστιν εὐγένεια, εὐκρασία ἔφη ψυχῆς καὶ σώματος.

Διογένης πυνθανομένου τινὸς τίνες τῶν ἀνθρώπων εὐγενέστατοι, οἱ καταφρονοῦντες εἶπε πλούτου, δόξης, ἡδονῆς, ζωῆς. τῶν δὲ ἐναντίων ὑπεράνω ὄντες, πενίας, ἀδοξίας, πόνου, θανάτου.

Ἀντίγονος ὁ βασιλεὺς Ἴωνα τὸν φιλόσοφον διαβληθέντα δυσγενῆ ἤρετο.
τίς πόθεν εἶς ἀνδρῶν, πόθι τοι πόλις ἠδὲ τοκῆες.
κἀκεῖνος εἶπεν, ἀλλ' ὀρθῶς ὦ βασιλεῦ ὅταν προ-
τὴν χρείαν ἔχῃς, οὐκ ἐρωτῶντα τὸ γένος, ἀλλὰ πι-

θέντα

θέντα τὸν σκοπὸν, σὺν ἀρίστου τρέχοντας προλαμβάνειν. οὕτως οὖν καὶ ἐπὶ τῶν φίλων ἐξέταζε οὐ πόθεν εἰσὶν, ἀλλὰ τίνες.

ΕΠΑΙΝΟΣ ΖΩΗΣ.

Εὐριπίδου.

Μάτην ἄρ' οἱ γέροντες εὔχονται θανεῖν,
γῆρας ψέγοντες, καὶ μακρὸν χρόνου βίον.
ἂν δ' ἐγγὺς ἔλθῃ θάνατος οὐδεὶς βούλεται
θνήσκειν, τὸ γῆρας οὐκ ἔτ' ἐστ' αὐτοῖς βαρύ.

Τοῦ αὐτοῦ.

πᾶς ἀνὴρ κἂν δοῦλος ᾖ τις ἥδεται τὸ φῶς ὁρῶν.

Τοῦ αὐτοῦ.

πᾶσι γὰρ οἰκτρὸν ἡ φίλη ψυχὴ βροτοῖς.

Τοῦ αὐτοῦ.

τὸ φῶς τόδ' ἀνθρώποισιν ἥδιστον βλέπειν
τὸ νέρθεν οὐδὲν, μαίνεται δ' ὃς εὔχεται
θανεῖν. κακῶς ζῆν κρεῖττον, ἢ θανεῖν καλῶς.

Τοῦ αὐτοῦ.

πανταχοῦ ζῆν ἡδὺ μᾶλλον, ἢ θανεῖν τοῖς σώφροσιν.

Τοῦ αὐτοῦ.

ὦ λαμπρὸς αἰθὴρ, ἡμέρας θ' ἁγνὸν φάος,
ὡς ἡδὺ λεύσσειν τοῖς τε πράσσουσι καλῶς
καὶ τοῖσι δυστυχοῦσιν ὧν πέφυκ' ἐγώ.

Τοῦ αὐτοῦ.

ψυχῆς γὰρ οὐδέν ἐστι τιμιώτερον.

Ομήρου.

βουλοίμην παρ' ἀφούρας ἐὼν θητευέμεν ἄλλῳ
ἀνδρὶ παρ' ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη,
ἢ πᾶσι νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.

Σοφοκλέους.

τὸ ζῆν γὰρ ὦ παῖ παντὸς ἥδιστον γέρας,
θανεῖν γὰρ οὐκ ἔξεστι τοῖς αὐτοῖσι δίς.

Λυκόφρονος.

ἀλλ' ἥμισυ μὲν ἢ πρόσω τὸ κατθανεῖν
ἄδης προθεῖται τοῖς δεδυστυχηκόσιν.
ὅταν δ' ἐφόρπῃ κῦμα λοίσθιον βίου,
τὸ ζῆν ποθοῦμεν, οὐ γὰρ ἴσ' αὐτοῦ κόρος.

Εὐριπίδου.

οὐ ταυτὸν ὦ παῖ τὸ βλέπειν τῷ κατθανεῖν
τὸ μὲν γὰρ οὐδέν, τῷ δ' ἔνεισιν ἐλπίδες.

Απολλοδώρου.

ὅτε μειράκιον ἦν, τοὺς ἀώρους ἠλέουν.
νῦν δ' ὅτε γέροντος ἐκφορὰν ἴδω
κλαίω. πρὸς ἐμὲ γάρ ἐστι τοῦτο κεῖν' ὁδοῦ.

Εκ τῶν ἀρίστωνος.

Πολλοὶ σοφοὶ γηραιοὶ φιλοζωοῦσι. καὶ γὰρ οἱ ὀψὲ γήμαντες φιλοζωοῦσιν ἵν' ἐκθρέψωσι τὰ τέκνα, καὶ οὗτοι ὀψὲ ἀρετῆς ἐπήβολοι γινόμενοι, ἐφίενται αὐτὴν ἐκθρέψαι.

ΠΕΡΙ ΗΣΥΧΙΑΣ.

Εὐριπίδου.

ΖΗλῶ σε γέρον, ζηλῶ σε ἀνδρῶν ὃς ἀκίνδυνον βίον,
ἐξεπέρασας ἀγνώστως, ἀκλεής. τοὺς δ' ἐν τιμαῖς
ἧσσον ἐπαινῶ.

Τοῦ αὐτοῦ.

καλὸν δ' ἔξω πραγμάτων ἔχειν πόδα
εὐβουλίας τυχόντα τῶν ἀμείνονος.

Τοῦ αὐτοῦ.

ὁ πλεῖστα πράττων, πλεῖστ' ἁμαρτάνει βροτῶν.

Αἰσχύλου.

τὰ μηδὲν ὠφελοῦντα, μὴ πόνει μάτην.

Ἐπιχάρμου.

ἁ δ' ἡσυχία χαρίεσσα γυνὰ
καὶ σωφροσύνας πλατίον οἰκεῖ.

Μενάνδρου.

ὡς ἡδὺ τῷ μισοῦντι τοὺς φαύλους τρόπους
ἐρημία, καὶ τῷ μελετῶντι μηδὲν πονηρόν,
ἱκανὸν κτῆμ' ἀγρὸς τρέφων καλῶς.
ἐκ τῶν ὄχλων δὲ ζῆλος, ἥ τε κατὰ πόλιν αὕτη τρυφὴ
λάμπει μὲν, ἐς δ' ὀλίγον δὲ χρόνον.

Εὐριπίδου.

ὅστις δὲ πράσσει πολλὰ μὴ πράσσειν παρὸν
μωρὸς παρὸν ζῆν ἡδέως ἀπράγμονα.

Τοῦ αὐτοῦ.

ὁ δὲ τῆς ἡσυχίας βίοτος
καὶ τὸ φρονεῖμ ἀσάλευτομ μένει
καὶ ξυνέχει δώματα.
πόῤῥω γὰρ ὅμως αἰθέρα ναίοντες
ὁρῶσι τὰ κροτῶν οὐρανίδαι.

Ἐκ τῶν Βίωνος βουκολικῶν.

εἴ μοι καλὰ πέλει τὰ μελύδρια, καὶ τάδε μόνα
κῦδος ἐμοὶ θήσοντι τά μοι πάρος ὤπασε μοῖρα.
εἰ δ' οὐχ ἁδέα ταῦτα, τί μοι πολὺ πλείονα μοχθεῖν.
εἰ μὲν γὰρ βιότω διπλόομ χρόνομ ἄμμιν ἔδωκεν
ἢ κρονίδας, ἢ μοῖρα πολύτροπος, ὥστ' ἀνύεσθαι
τὸμ μὲν ἐς εὐφροσύναν καὶ χάρματα, τὸν δ' ἐνὶ μόχθῳ,
ἦν τάχα μοχθήσαντι ποθ' ὕστερον ἐσθλὰ δέχεσθαι.
εἰ δὲ θεοὶ κατένευσαν ἕνα χρόνομ ἐς βίομ ἐλθεῖμ
ἀνθρώποις, καὶ τόνδε βραχὺν καὶ μείονα πάντων,
ἐς πόσομ ἆ δειλοὶ καμάτως κεἰς ἔργα πονεῦμες;
ψυχὰν δ' ἄχρι τίνος ποτὶ κέρδεα, καὶ ποτὶ τέχνας
βάλλομες ἱμείροντες ἀεὶ πολὺ πλείονος ὄλβω;
λαθόμεθ' ἦ ἄρα πάντες ὅτι θνατοὶ γενόμεσθα
χὡς βραχὺν ἐκ μοίρας λάχομεν χρόνον.

Πλουτάρχου ἐκ τοῦ περὶ ἡσυχίας.

Σοφὸν ἔοικε χρῆμα τὸ τῆς ἡσυχίας. πρός τε τὰ ἄλλα καὶ εἰς ἐπιστήμην καὶ φρονήσεως μελέτην. λέγω δὲ οὐ τὴν καπηλικὴν καὶ ἀγοραίαν, ἀλλὰ τὴν μεγάλην, ἥ τις ἐξομοιοῖ θεῷ τὸν αὐτὴν ἀναλαβόντα.

ΠΕΡΙ ΘΑΝΑΤΟΥ.

Αἰσχύλου.

Μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ.
οὔτ' ἄν τι θύων οὔτ' ἐπισπένδων ναοῖς.
οὐ βωμός ἐστιν, οὐ δὲ παιωνίζεται.
μόνου δὲ πειθὼ δαιμόνων ἀποστατεῖ.

Ὁμήρου.

ληϊστοὶ μὲν γάρ τε βόες καὶ ἴφια μῆλα
κτητοί τε τρίποδες, καὶ ἵππων ξανθὰ κάρηνα.
ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν, οὔτε λῃστὴ
οὔθ' ἑλετή. ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων.

Εἰρήνης.

τοῦτο κεν εἰς ἀΐδαν, κενεὰ διανήχεται ἀχὼ
σιγᾷ δ' ἐν νεκύεσι, τὸ δὲ σκότος ὄσσε κατέρρει.

Σιμωνίδου.

πάντα γὰρ μίαν ἱκνεῖται λασπῆδα χάρυβδιν.
αἱ μεγάλαι ἀρεταὶ καὶ ὁ πλοῦτος.

Μενάνδρου.

ἀθανασίας δ' οὐκ ἔστιν, οὐδ' ἂν συνάγῃς
τὰ ταντάλου τάλαντα ἱκανὰ λεγόμενα,
ἀλλ' ἀποθανῇ, καὶ ταῦτα καταλείψεις τινί.

Σοφοκλέους.

σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπή.

Τοῦ αὐτοῦ.

ὅς τις δὲ θνητῶν θάνατον ὀρρωδεῖ λίαν,

μωρὸς πέφυκε. τῇ τύχῃ μέλλει τάδε.
ὅταν γὰρ ὁ καιρὸς τοῦ θανεῖν ἐλθὼν τύχῃ
οὐδ᾽ ἂν πρὸς αὐλὰς ζηνὸς ἐκφύγῃ μολών.

Ἀνακρέοντος.

πολιοὶ μὲν ἡμῖν ἤδη κρόταφοι
κάρη δὲ λευκόν.
χαρίεσσα δ᾽ οὐκ ἔθ᾽ ἥβη πάρα
γηραλέοι δ᾽ ὀδόντες.
γλυκεροῦ δ᾽ οὐκ ἔτι πολλὸς βιότου χρόνος λέλειπται.
διὰ ταῦτ᾽ ἀνασταλύζω θαμὰ τάρταρον
δεδοικώς. ἀΐδεω γάρ ἐστι δεινὸς μυχὸς
ἀργαλέη δ᾽ ἐς αὐτὸν κάθοδος. καὶ γὰρ ἑτοῖμον
καταβάντι μὴ ἀναβῆναι.

Εὐριπίδου.

βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται.
κοὐκ ἔστι θνητῶν ὅς τις ἐξεπίσταται
τὴν αὔριον μέλλουσαν εἰ βιώσεται.

Ἀριστοφάνους.

τὸ γὰρ φοβεῖσθαι τὸν θάνατον λῆρος πολύς,
πᾶσι γὰρ ἡμῖν τοῦτ᾽ ὀφείλεται παθεῖν.

Ποσιδίππου.

ὧν τοῖς θεοῖς ἄνθρωπος εὔχεται τυχεῖν
τῆς ἀθανασίας κρεῖττον οὐδὲν εὔχεται.

Λεωνίδου.

εὔθυμος ὢν ἔρεσσε τὴν ἐπ᾽ ἀΐδος
ἀταρπὸν ἕρπων, οὐ γάρ ἐστι δύσβατος

οὐδὲ

οὐδὲ σκαλλιωδὸς, οὐδ' ἐγὼ πλέος πλανῆς.
ἰθεῖα δὴ μάλιστα καὶ κατακλινὴς
ἅπασα κἠκμεμυκότων ὀδούεται.

Ἀριστοτέλους.

ἄφυκτόν ἐστι τὸ τῆς πεπρωμένης κακόν.

Αἰσχίνου.

Οὐχ ὁ θάνατος δεινὸν, ἀλλ' ἡ περὶ τὴν τελευτὴν ὕβρις φοβερά.

Ἐπικούρου.

Ὁ θάνατος οὐδὲν πρὸς ἡμᾶς. τὸ γὰρ διαλυθὲν ἀναισθητεῖ. τὸ δὲ ἀναισθητοῦν οὐδὲν πρὸς ἡμᾶς.

Ἑρμάρχου.

Εὐκαταφρόνητος ὁ θάνατος. ἀπείρατον γὰρ τὸ πριουῶν, τοῦ πάσχοντος ἀνῃρημένου.

Μητροδώρου.

Πρὸς μὲν τὰ ἄλλα δυνατὸν ἀσφάλειαν πορίσασθαι. χάριν δὲ θανάτου πάντες ἄνθρωποι πόλιν ἀτείχιστον οἰκοῦμεν.

Γοργίας ὁ ῥήτωρ ἤδη γηραιὸς ὑπάρχων ἐρωτηθεὶς εἰ ἡδέως ἀποθνήσκει, μάλιστα εἶπεν. ὥσπερ γὰρ ἐκ σαπροῦ καὶ ῥέοντος συνοικιδίου ἀσμένως ἀπαλλάττομαι.

Πορφυρίου.

Ὁ θάνατος διπλοῦς, ὁ μὲν οὖν συνεγνωσμένος, λυομένου τοῦ σώματος ἀπὸ τῆς ψυχῆς, ὁ δὲ τῶν φιλοσόφων λυομένης τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, καὶ οὐ πάντως ὁ ἕτερος τῷ ἑτέρῳ ἕπεται.

ΕΠΑΙΝΟΣ ΘΑΝΑΤΟΥ.

Εὐριπίδου.

Ἄκουσον ὡς σοι τέρψιν ἐμβαλῶ φρενί.
τὸ μὴ γενέσθαι κρεῖσσον ἢ φῦναι βροτούς.

Νεοπτολέμου.

ὦ θάνατ᾽, εἴθ᾽ εἴης αὐτάγγετος ὄφρ᾽ ἂν ἑλοίμην
πρώτιστον, καί κ᾽ ἐχθρὸς ἐὼν πολὺ φίλτατος εἴης.

Εὐριπίδου.

εἴ τι δὴ κάτω χθονὸς, εἴη γε μὲν σοι μηδέν.
εἰ γὰρ ἕξομεν κἀκεῖ μερίμνας οἱ θανούμενοι
βροτῶν, οὐκ οἶδα ποῖ τις τρέψεται. τὸ γὰρ θανεῖν
κακῶν μέγιστον φάρμακον νομίζεται.

Σοφοκλέους.

ἀλλ᾽ ἔσθ᾽ ὁ θάνατος λοῖσθος ἰατρὸς νόσων.

Μενάνδρου.

ὃν οἱ θεοὶ φιλοῦσιν ἀποθνήσκει νέος.

Εὐριπίδου.

ἅλις ὦ βιωτὰ, πέραινε. πρίν τινα συντυχίαν
ἢ κτεάνεσσιν ἐμοῖς, ἢ σώμασι τοῖσδε γενέσθαι.

Σωτάδου.

πάντων λιμὴν τῶν μερόπων ὁ θάνατός ἐστιν.

Αἰσχύλου.

ὦ θάνατε παιάν μή μ᾽ ἀτιμάσῃς μολεῖν.
μόνος εἶ σὺ τῶν ἀνηκέστων κακῶν ἰατρὸς,
ἄλγος δ᾽ οὐδὲν ἕπεται νεκροῖς.

Σοφο-

Σοφοκλέους.

τὸ δ' ἦν ἄρ' οὐδὲν πλὴν θανεῖν ἐμέ.
τοῖς γὰρ θανοῦσι μόχθος οὐ προσγίνεται.

Εὐριπίδου.

τὸ ζῆν δὲ θνήσκειν οὐκ ἔστιν πλὴν ὁμῶς βροτῶν.
νοσοῦσι δ' οἱ βλέποντες, οἱ δ' ὀλωλότες
οὐδὲ νοσοῦσιν, οὐδὲ κέκτηνται κακά.

Αναξαγόρας ἔλεγε δύο διδασκαλίας εἶναι θανάτου, τόν τε πρὸ τοῦ γενέσθαι χρόνον καὶ τὸν ὕπνον.

Εὐριπίδου.

ἐχρῆν μὲν ἡμᾶς σύλλογον ποιουμένους
τὸν ζῶντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά,
τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον
χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων.

Επίγραμμα εἰς κλέοβιν, καὶ βίτωνα.

οἵδε βίτων κλέοβίς τ' ἐνὶ σώμασιν οἰκείοισιν
ζεύγλην ζευξάμενοι μητέρα ἦν ἀγέτην
ἥρας εἰς ἱερόν. λαοὶ δέ μιν ἐζήλωσαν
εὐτεκνίας παίδων, ἡ δὲ χαρεῖσα θεᾷ
εὔξατο παῖδε τυχεῖν τοῦ ἀρίστου δαίμονος αἴσης
οὕνεκ' ἐτίμησαν μητέρα τὴν σφετέρην.
αὐτοῦ δ' εὐνηθέντε λίπον υἱὸν ἐν νεότητι
ὡς τόδ' ἄριστον ἐὸν καὶ μακαριστότατον.

Εκ τῆς νικολάου ἐθῶν συναγωγῆς.

Καυσιανοὶ τοὺς μὲν γεννωμένους θρηνοῦσι. τοὺς δὲ τε-
λευτήσαντας μακαρίζουσιν.

Δημοσθένους.

Τίς γὰρ οὐκ οἶδε τῶν ἁπάντων ὅτι τοῖς μὲν ζῶσι πᾶσιν, ὑπεστί τις ἢ πλείων ἢ ἐλάττων φθόνος, τοὺς τεθνεῶτας δὲ οὐδὲ τῶν ἐχθρῶν οὐδεὶς ἀτιμάζει.

ΠΕΡΙ ΙΑΤΡΩΝ ΚΑΙ ΙΑΤΡΙΚΗΣ.

Ὁμήρου.

Ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων
ἰούς τ' ἐκτάμνειν, ἐπί τ' ἤπια φάρμακα πάσσειν.

Εὐριπίδου.

μέλλοντ' ἰατρὸς τῇ νόσῳ διδοὺς χρόνον
ἰᾶσατ' ἤδη μᾶλλον ἢ τεμὼν χρόα.

Φιλήμονος.

ἄνθρωπον ὄντα ῥᾴδιον παραινέσαι
ἐστίν. ποιῆσαι δ' αὐτὸν οὐχὶ ῥᾴδιον.
τεκμήριον δὲ τοὺς ἰατροὺς οἶδ' ἐγώ,
ὑπὲρ ἐγκρατείας τοῖς νοσοῦσιν εὖ σφόδρα
πάντας λαλοῦντας, εἶτ' ἐὰν πταίσωσί τι
αὐτοὺς ποιοῦντας πάνθ' ὅσ' οὐκ εἴων τότε.
ἑτέρου. τό, τ' ἀλγεῖν καὶ θεωρεῖν ἔστ' ἴσως.

Τοῦ αὐτοῦ.

τίς ἐστιν οὗτος, ἰατρός. ὡς κακῶς ἔχει ἅπας
ἰατρὸς ἂν κακῶς μηδεὶς ἔχῃ.
μόνῳ δ' ἰατρῷ τούτῳ καὶ συνηγόρῳ
ἔξεστιν ἀποκτείνειν μὲν, ἀποθνήσκειν δὲ μή.

Τρόφι

Τρόφιλος ἰατρὸς ἐρωτηθεὶς τίς ἂν γένοιτο τέλειος
ἰατρός. ὁ τὰ δυνατὰ ἔφη καὶ τὰ μὴ δυνατὰ δυνάμε-
νος διαγινώσκειν.

Πλουτάρχου ἐκ τῶν ὑγιεινῶν παραγγελμάτων.

Τῶν δ' ἐλευθερίων τεχνῶν ἰατρική. τὸ μὲν γλαφυ-
ρὸν ἐστὶ περιττὸν καὶ ἐπιτερπὲς οὐδεμιᾶς ἐνδεέστερον
ἔχει. θεωρητικὸν δὲ μέγα τοῖς φιλομαθοῦσι τὴν σωτη-
ρίαν, καὶ τὴν ὑγείαν.

Ἡλιοδώρου.

Πάθος ἅπαν, τὸ μὲν ὀξέως γιγνωσκόμενον εὐβοήθη-
τον. τὸ δὲ χρόνῳ παραπεμπόμενον, ἐγγὺς ἀνίατον.

ΠΕΡΙ ΚΑΚΟΔΑΙΜΟΝΙΑΣ.

Ὁμήρου.

Δύσμορον, ὅν ῥα πατὴρ κρονίδης ἐπὶ γήραος οὐδῷ
δύῃ ἐν ἀργαλέῃ φθίσει κακὰ πολλ' ἐπιδόντα.
υἷας τ' ὀλλυμένους, ἑλκυθείσας τε θύγατρας
καὶ θαλάμους κεραϊζομένους, καὶ νήπια τέκνα
καλλόμενα προτὶ ἄστυ ἐν αἰνῇ δηϊοτῆτι.

Μενάνδρου.

γέροντα δυστυχοῦντα τῶν ἑαυτοῦ κακῶν
ἐπαγομένων λήθην, ἀναμνήσας πάλιν,
ἔπειτα τυχεῖν τ' ἤγειρας.

Σοφοκλέους.

τοῖς γὰρ κακῶς πράσσουσι μυρία μία

νὺξ ἐστὶν σοῦ παθόντα ἢ τόρα θανεῖν.

Μενάνδρου.

ἔπιστον ἀτυχῶν ἐστιν ἄνθρωπος φύσει.
τὸν πλησίον γὰρ οἴεται μᾶλλον φρονεῖν
ὁ τοῖς λογισμοῖς τοῖς ἰδίοις πταίων ἀεί.

Ἄμφιδος.

ἐν οἷς ἂν ἀτυχήσῃ τὶς ἄνθρωπος τόποις
ἥκιστα τούτοις πλησιάζων ἥδεται.

Φιλήτου.

ἦ μὲν δὴ πολέεσσι πεφύρηται χαλεπῇσι
θυμὸς, γαλλωαίη δ' ἐπιμίσγεται οὐδ' ὅσον ὅσσον
ἀμφὶ δέ τοι νέαι αἰὲν ἀνίαι τετρήχασιν.

Τοῦ αὐτοῦ.

ζωὴ οὔ μοι πολέων γαίης ὕπερ οὐδὲ θαλάσσης
ἐκ διὸς ὡραίων ἔσχομεν ὧν ἐτέων.
οὐδ' ἀπόμοιρα μελέω κακῶν φέρει. ἀλλὰ φέρουσιν
ἔμπεδα καὶ τοῖς ἄλλα προσαυξάνεται.

Μενάνδρου.

ἔξωθεν εἰσὶν οἱ δοκοῦντες εὐτυχεῖν,
τὰ δ' ἔνδον εἰσὶ πᾶσιν ἀνθρώποις ἴσοι.

Διφίλου.

Ὥσπερ κυαθίζουσ' ἡμῖν ἐνίοτ' ἡ τύχη ἓν ἀγαθὸν
ἐπιχέασα, τρί' ἐπαντλεῖ κακά.
Ἡράκλειτος ἔφη ὡς ἦθος ἀνθρώπῳ δαίμων.

Πλάτωνος.

Κατά γε τὴν ἐμὴν δόξαν ὦ Πῶλε ὁ ἀδικῶν τε καὶ ὁ
ἄδικος

ἄδικος, πάντως μὲν ἄθλιος. ἀθλιώτερος μέντοι,
ἐὰν μὴ διδῷ δίκην. μὴ δὲ τυγχάνῃ τιμωρίας ἀδι-
κῶν. ἧττον δὲ ἄθλιος ἐὰν διδῷ δίκην, καὶ τυγχάνῃ
δίκης ὑπὸ θεῶν τε καὶ ἀνθρώπων.

ΠΕΡΙ ΛΥΠΗΣ ΟΤΙ ἐπώδυνος τοῖς φροντίζουσιν.

Κλεαινέτου.

ΛΥπη γὰρ ὀργή τ' εἰς ἕνα ψυχῆς τόπον
ἐλθόντα, μανία τοῖς ἔχουσι γίνεται.

Μενάνδρου.

οὐκ ἔστι λύπης ἐάν περ ὀρθῶς τις σκοπῇ
ἄλγημα μεῖζον τῶν ἐν ἀνθρώποις φύσει.

Εὐριπίδου.

ἓν δ' ἐστὶ πρῶτον πάντων εἰδέναι τουτί
φέρειν τὰ συμπίπτοντα μὴ παλιγκότως.
καὶ οὗτος γ' ἀνὴρ ἄριστος, αἵ τε συμφοραὶ
ἧσσον δάκνουσιν. ἀλλὰ ταῦτα γὰρ λέγειν
ἐπιστάμεσθα. δρᾶν δ' ἀμηχάνως ἔχει.

Τοῦ αὐτοῦ.

λῦπαι γὰρ ἀνθρώποισι τίκτουσι νόσους.

Τοῦ αὐτοῦ.

φρονῶ δ' ἃ πάσχω, καὶ τὸ δ' οὐ σμικρὸν κακόν,
τὸ μὴ εἰδέναι γὰρ ἡδονὴν ἔχει τινὰ
νοσοῦντα, κέρδος ἐν κακοῖς ἀγνωσία.

Τοῦ αὐτοῦ.

ᾤκτειρ' ἀκούσας, οἰκτρὰ γὰρ τὰ δυστυχῆ,
κροτοῖς ἅπασι κἂν θυραῖος ὢν κυρῇ.

Τοῦ αὐτοῦ.

λύπη μάλιστα γ' ἡ διαφθείρουσα με.
δεινὴ γὰρ ἡ θεὸς ἀλλ' ὅμως ἰάσιμος.

Τοῦ αὐτοῦ.

ἀλλ' οὐ γὰρ ὀρθῶς ταῦτα, γενναίως ἴσως
ἔπραξας. αἰνεῖσθαι δὲ δυστυχοῦντ' ἐγὼ μισῶ.

Μενάνδρου.

πολλῶν φύσει τοῖς πᾶσιν ἀνθρώποις κακῶν
ὄντων μέγιστόν ἐστιν ἡ λύπη κακόν.

Σοφοκλέους.

τίκτουσι γάρ τι καὶ νόσους δυσθυμίαι.

Πινδάρου.

αἱ δὲ φρενῶν ταραχαὶ, παρέπλαγξαν καὶ σοφόν.

Ἀλέξιδος.

τῶν μετρίων αἱ μείζονες λύπαι
ποιοῦσι τοῦ φρονεῖν μετάστασιν.

Εὐριπίδου.

λύπη μὲν, ἄτῃ περιπεσεῖν αἰσχρᾷ τινί.
εἰ δ' οὖν γένοιτο χρὴ περιστεῖλαι καλῶς
κρύπτοντα καὶ μὴ πᾶσι κηρύσσειν τάδε.
γέλως γὰρ ἐχθροῖς γίνεται τὰ τοιάδε.

Ἀπολλοδώρου.

τοῖς γὰρ λελυπημένοις τε καὶ μεριμνῶσι

ἅπαντα

ἅπαντα νὺξ ἔοικε φαίνεσθαι μακρά.

Ποσειδίππου.

ἔργον γε λύπην ἐκφυγεῖν, ἡ δ' ἡμέρα
ἀεί τι καινὸν εἰς τὸ φροντίζειν φέρει.

Σωκράτης ἐρωτηθεὶς πῶς ἂν τις ἄλυπος διάγοι, ἔφη· ἀδύνατον εἶπεν. οὐ γάρ ἐστι πόλιν ἢ οἰκίαν οἰκοῦντα, καὶ ἀνθρώποις ὁμιλοῦντα μὴ λυπεῖσθαι.

Εὐριπίδου.

ὅστις δὲ λύπας φησὶ πημαίνειν κροτοῦ
δεῖν δ' ἂν χρόνων τε καὶ πετρῶν ῥίπτειν ἄπο
οὐκ ἐν σοφοῖσιν ἐστὶν, εὐχέσθω δ' ὅμως
ἄπειρος εἶναι τῆς νόσου ταύτης ἀεί.

Φιλήμονος.

οὕτως ὅταν ἐμπέσῃ τις εἰς τὴν νοῦν φόβος
ἱκανῶς καθεύδειν ἔτος οὐκ ἐξέρχεται
νόσον πολὺ κρεῖττον ἐστὶν ἢ λύπην φέρειν.

Εὐφράτης ὁ σῦρος τὴν γυναῖκα ἀποβαλὼν ἔλεγεν, ὦ φιλοσοφία τυραννικά σου τὰ προστάγματα. λέγεις φίλει. κἂν ἀποβάλῃ τις, λέγεις μὴ λύπου.

ΠΕΡΙ ΛΗΘΗΣ.

Σοφοκλέους.

Λάθα πιερίδων στυγερὰ καὶ ἀνδράσιν
ὠδύνασεις θανάτοις ἐποτμώτατε
μελέων ἀνέχουσα βίον κραχὺν ἰσθμόν.

Εὐρι-

Εὐριπίδου.

ὦ πότνια λήθη τῶν κακῶν ὡς εἶ σοφὴ
καὶ τοῖσι δυστυχοῦσιν εὐκταία θεός.

Σοφοκλέους.

λήθην τε τὴν πάντ᾽ ἀπεστερημένην, κωφήν, ἄναυδον.

Τοῦ αὐτοῦ.

ὡς τοῖς κακῶς πράσσουσιν ἡδὺ καὶ βραχὺν
χρόνον λαθέσθαι τῶν παρεστώτων κακῶν.

Πλάτωνος.

ἔστι γὰρ λήθη, μνήμης ἔξοδος.

Τοῦ αὐτοῦ.

ὃ γὰρ καλεῖται μελετᾶν, ὡς ἐξιούσης ἐστὶ τῆς ἐπιστήμης. λήθη γὰρ ἐπιστήμης ἔξοδός ἐστιν.

ΠΕΡΙ ΜΕΛΕΤΗΣ καὶ φιλοπονίας.

Βίωνος.

Ἐκ θαμινῆς ῥαθάμιγγος ὅκως λόγος αἰὲς ἰοίσας
χὰ λίθος ἐς ῥωχμὸν κοιλαίνεται.

Ἀντιφάνους.

τῆς ἐπιμελείας δοῦλα πάντα γίνεται.

Μενάνδρου.

πάντα τὰ ζητούμενα δεῖσθαι μερίμνης φασὶν οἱ σοφώτεροι.

Βίωνος.

οὐ καλὸν ὦ φίλε πάντα λόγον ποτὶ τέκτονα φοιτᾶν.

μηδέ

μηδέ τοι πάντ' ἄλλο χρέος ἰσχυέμεν.
ἀλλὰ καὶ αὐτὸς τεχνᾶσθαι σύνεργα.
πέλει δέ τι εὐμαρὲς ἔργον.

Εὐριπίδου.

οὐ γὰρ ὀδυσσεὺς ἐστὶν αἱμύλος μόνος,
χρεία διδάσκει κἂν βραδύς τις ᾖ σοφόν.

Τοῦ αὐτοῦ.

σὺν μυρίοις τὰ καλὰ γίνεται πόνοις.

Σοφοκλέους.

τὸ ζητούμενον ἁλωτὸν, ἐκφεύγει δὲ τἀμελούμενον.

Ἱππώνακτος.

χρόνος δὲ φυγέτω σε μηδὲ εἷς ἀργός.

Φιλίσκου.

οὐκ ἔστιν ὦ μάταιε σὺν ῥαθυμίᾳ
τὰ τῶν πονούντων μὴ πονήσαντα λαβεῖν.

Ξενοφάνους.

οὔτοι ἀπ' ἀρχῆς πάντα θεοὶ θνητοῖς ὑπέδειξαν.
ἀλλὰ χρόνῳ ζητοῦντες ἐφευρίσκουσιν ἄμεινον.

Θεοδέκτου.

πολλὰ δεῖ μοχθεῖν τὸν ἥξοντ' εἰς ἔπαινον εὐκλεῶς.
ῥαθυμία δὲ τὴν παραυτίχ' ἡδονὴν λαβοῦσα
λύπας τῷ χρόνῳ τίκτειν φιλεῖ.

Σοφοκλέους.

ἀλλ' ἡδύ τοι σωθέντα μεμνῆσθαι πόνων.

Μενάνδρου.

δεῖ τοὺς γινομένους μέχρις ἂν ζῶσι πονεῖν.

ἀπραξία γὰρ λιμὸν οὐ τρέφει υἱόν.

Τοῦ αὐτοῦ.

πάντα γὰρ ταῖς ἐνδελεχίαις καταπονεῖται πράγματα,
εὔκλειαν ἔλαβον οὐκ ἄνευ πολλῶν πόνων.

Αἰσχύλου.

φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεός.

Εὐριπίδου.

ἐκ τῶν πόνων τοι τἀγαθ' αὔξεται βροτοῖς
ὁ δ' ἡδὺς αἰὼν ἡ κακή τ' ἀτολμία
οὔτ' οἶκον οὔτε βίοτον οὐδὲν ὠφελεῖ.

Τοῦ αὐτοῦ.

οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν,
αἰσχρόν τε μοχθεῖν μὴ θέλειν νεανίαν.

Αἰσχύλου.

καλὸν δὲ καὶ γέροντα μανθάνειν σοφά.

Σοφοκλέους.

οὔτι ποθ' ἥξει τῶν ἄκρων ἄνευ πόνου.
μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.
ἅπαντα τὰ καλὰ τοῦ πονοῦντος γίνεται.
ἅπανθ' ὁ τοῦ ζητοῦντος εὑρίσκει πόνος.

Φιλήμονος.

πάντ' ἐστὶν ἐξευρεῖν, ἐὰν μὴ τὸν πόνον
φεύγῃ τις, ὃς πρόσεστι τοῖς ζητουμένοις.
ἐκ τοῦ φιλοπονεῖν γίνεθ' ὧν θέλεις κρατεῖν.

Τοῦ αὐτοῦ.

ὡς ἡδέως μοι γέγονε τὰ πρότερα κακά.

εἰ μὴ

εἰ μὴ πότ' ἐπόνουν, νῦν ἂν οὐκ εὐφραινόμην.

Εὐριπίδου.

οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο.

Τοῦ αὐτοῦ.

οὐδεὶς γὰρ ὢν ῥᾴθυμος εὐκλεὴς ἀνήρ,
ἀλλ' οἱ πόνοι τίκτουσι τὴν εὐανδρίαν.

ΠΕΡΙ ΜΝΗΣΤΕΙΑΣ.

Εὐριπίδου.

Γάμους δ' ὅσοι σπεύδουσι μὴ πεπρωμένους
μάτην πονοῦσιν, ἡ δὲ τῷ χρεὼν πόσει
μένουσα κἀσπούδαστος ἦλθεν εἰς δόμους.

Τοῦ αὐτοῦ.

ὅσοι γαμοῦσι δ' ἢ γένει κρείσσους γάμους
ἢ πολλὰ χρήματ', οὐκ ἐπίστανται γαμεῖν.
τὰ τῆς γυναικὸς γὰρ κρατοῦντ' ἐν τοῖς δώμασι.
δουλοῖ τὸν ἄνδρα κοὐκ ἔτ' ἐστ' ἐλεύθερος.
πλοῦτος δ' ἐπακτὸς ἐκ γυναικείων γάμων
ἀνόνητος. αἱ δὲ διαλύσεις ῥᾴδιαι.

Μενάνδρου.

ὅταν πένης ὤν, καὶ γαμεῖν τις ἑλόμενος
τὰ παρὰ γυναικὸς ὑποδέχηται χρήματα
ἑαυτὸν δίδωσιν, οὐκ ἐκείνην λαμβάνει.

Τοῦ αὐτοῦ.

δύ' ἐστ' ἃ κρίναι τὸν γαμεῖν μέλλοντα δεῖ,

ἤτοι προσηνῆ ὄψιν, ἢ χρυσὸν τρόπον.
τὴν γὰρ ὁμόνοιαν τὴν παρὰ ἀλλήλους ποιεῖ.

Ἡσιόδου.

παρθενικὴν δὲ γαμεῖν, ὥς κ' ἤθεα κεδνὰ διδάξης
πάντα μάλ' ἀμφὶς ἰδὼν, μὴ γείτοσι χάρματα γήμης.

Εὐριπίδου.

πᾶσι δ' ἀγγέλλω βροτοῖς ἐσθλῶν ἀπ' ἀνδρῶν
εὐγενῆ σπείρειν τέκνα. οὐ γάρ ποτ' ἂν πράξειαν
εἰς τέλος κακῶς.

Περικλῆς ὁ τῶν ἀθηναίων στρατηγὸς δυοῖν αὐτοῦ τὴν θυγατέρα μνηστευομένων, τοῦ μὲν πλουσίου καὶ ἀπαιδεύτου, τοῦ δὲ πένητος καὶ φιλολόγου, τούτῳ αὐτὴν ἐξέδωκεν. εἰπὼν ὅτι ἄμεινόν ἐστι τοῦ ὄντος, ὁ δυνάμενος γενέσθαι πλούσιος.

ΠΕΡΙ ΝΟΜΩΝ ΚΑΙ ΕΘΩΝ.

Εὐριπίδου.

ΜΗ νεῖκος ὦ γεραιὲ τυράννοις τίθου,
σέβειν δὲ τοὺς κρατοῦντας ἀρχαῖος νόμος.

Μενάνδρου.

οὐ παντελῶς δεῖ τοῖς πονηροῖς ἐπιτρέπειν,
ἀλλ' ἀντιτάττεσθ', εἰ δὲ μὴ τ' ἄνω κάτω ἡμῶν
ὁ βίος λήσει μεταστραφεὶς ὅλος.

Εὐριπίδου.

καὶ τοὺς πονηροὺς μή ποτ' αὔξειν ἐν πόλει.

κακοὶ γὰρ ἐμπλησθέντες ἢ νομίσματος
ἢ πόλεως ἐμπεσόντες εἰς ἀρχήν τινα
σκιρτῶσιν ἀδόκητ᾽ εὐτυχήσαντες δόμῳ.

Τοῦ αὐτοῦ.

οὐκ ἔστιν οὐδὲν κρεῖσσον ἢ νόμοι πόλει
καλῶς τεθέντες. ὅτε γὰρ ἀσθενέστερος
ὁ πλούσιός τε τὴν δίκην ἴσην ἔχει.
νικᾷ δ᾽ ὁ μείων τὸν μέγαν δίκαι᾽ ἔχων.

Μενάνδρου.

καλὸν οἱ νόμοι σφόδρ᾽ εἰσὶν, ὁ δ᾽ ὁρῶν τοὺς νόμους
λίαν ἀκριβῶς, συκοφάντης φαίνεται.

Σοφοκλέους.

τοὶ γὰρ τὸ λοιπὸν εἰσόμεσθα μὲν θεοῖς
εἴκειν. μαθησόμεσθα δ᾽ Ἀτρείδας σέβειν.
ἄρχοντές εἰσιν, ὥσθ᾽ ὑπεικτέον τιμῇ.
καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτερώτατα
τιμαῖς ὑπείκει. τοῦτο μὲν νιφοστιβεῖς
χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει.
ἐξίσταται δὲ νυκτὸς αἰανὴς κύκλος
τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν.
δεινόν τ᾽ ἄημα πνευμάτων ἐκοίμισε
στένοντα πόντον, ἐν δ᾽ ὁ παγκρατὴς ὕπνος
λύει πεδήσας, οὐδ᾽ ἀεὶ λαβὼν ἔχει.

Πολυαίνου.

Ἔθος ἄρχεται μὲν ἀπὸ μικρῶν, τῷ μελλούμενον δὲ
τὴν ἰσχὺν μείζω λαμβάνει.

Ἐρασιστράτου.

Εἰθισμένοι δέ εἰσι καὶ οἱ σκύθαι, ὅταν διά τινα καιρὸν ἀναγκάζονται ἀσιτεῖν, ζώναις πλατείαις τὴν κοιλίαν διασφίγγειν, ὡς τῆς πείνης αὐτοῖς ἧττον ἐνοχλούσης. σχεδὸν καὶ ὅταν πλήρης ἡ κοιλία ᾖ διὰ τὸ κένωμα ἐν αὐτῇ μηδὲν εἶναι διὰ τοῦτο οὐ πεινῶσιν, ὅταν δὲ συμπεπτωκυῖα ᾖ, κένωμα οὐκ ἔχει.

Δαφολίβυες ὅταν συναχθῶσι πάντες ἅμα γαμοῦσιν ἐν μιᾷ ἡμέρᾳ μετὰ δύσιν πλειάδος, καὶ μετὰ τὴν ἑστίασιν χωρὶς τῶν γυναικῶν κατακειμένων κατασβέσαντες τὸν λίχνον εἰσέρχονται, καὶ ὁ τυχὼν, ἣν ἂν τύχῃ λαμβάνει.

ΠΕΡΙ ΝΑΥΤΙΛΙΑΣ
καὶ ναυαγίου.

Σοφοκλέους.

ΤΙ τοῦδ᾽ ἂν χάρμα μεῖζον ἂν λάβοις ποτὲ,
τοῦ γῆς ἐπιψαύσαντα, καὶ ὑπὸ στέγῃ πυκνῇ
ἀκοῦσαι ψεκάδος, εὑδούσῃ φρενί.

Ὁμήρου.

οὐ μὲν γάρ τι που ἐστὶ κακώτερον ἄλλο θαλάσσης
ἄνδρα τε συγχεύαι, εἰ καὶ μάλα καρτερὸς εἴη.

Τοῦ αὐτοῦ.

ὅς τις διαπλεῖ θάλασσαν ἢ μελαγχολᾷ
ἢ πτωχός ἐστιν ἢ ᾽θάνατος, τούτων τῶν τριῶν

ἑνὸς

ἑνὸς τ' ἀποτυχεῖν τοὐλάχιστον οὐκ ἔνι.

Ἀράτου.

τῆμος ὑπερρήσσουσι νότοι, ὁππότ' αἰγοκερῆϊ
ἐμφορέητ' ἠέλιος. τότε δὲ κρύος ἐκ διός ἐστι
ναύτῃ μαλκιόωντι κακώτατον, ἀλλὰ καὶ ἔμπης
ἤδη πάντα ἐνιαυτὸν ὑποστείρῃσι θάλασσα
πορφύρει. ἴκελοι δὲ κολυμμαῖσιν αἰθυίῃσιν
πολλάκις ἐκ νηῶν πέλαγος περιπαπταίνοντες
ἥμεθ' ἐπ' αἰγιαλοὺς τετραμμένοι. οἱ δ' ἔτι πόρσω
κλύζονται. ὀλίγον δὲ διὰ ξύλον ἄϊδ' ἐρύκει.

Φιλήτα.

γαῖαν μὲν φανέουσι θεοί ποτε. νῦν δὲ πάρεστιν
αἰψηρῶν ἀνέμων μοῦνον ὁρᾶν τέμενος.

Ἀντιφάνους.

δύστηνος ὅς τις ζῇ θαλάττιον βίον,
τῶν γὰρ πλεόντων ζητεῖν ἑκατὸν σταδίους
ἐλθεῖν πεζῇ δὴ κρεῖττον, ἢ πλεῦσαι πλέθρον
πλείστην θάλατταν σχοινίων πωλουμένων.

Εὐριπίδου.

ναῦς ἡ μεγίστη κρεῖσσον ἢ μικρὸν σκάφος.

Μενάνδρου.

τὰ μεγάλα κέρδη ῥαδίως ἢ πλουσίους
τοὺς παραβόλως πλέοντας, ἢ νεκροὺς ποιεῖ.

Ἀντιφάνους.

ἐν γῇ πένεσθαι κρεῖττον, ἢ πλουτοῦντα πλεῖν.

Εὐφορί-

Εὐφορίων.

τὸν δ' ἐκάλυψε θάλασσα λιλαιόμενον βιότοιο,
καὶ οἱ πήχεες ἄκρον ὑπερφαίνοντο ταθέντες
ἀχρεῖα σπαίροντες ἅλις δολοπιονίδαο
δυστήνου. ζωὴν δὲ μεθ' ὕδατος ἔμβαλε πᾶσαν,
χεῖρας ὑπερπλάζων. ἅλμη δ' ἐκάλυψεν ὀδόντας.

Εὐριπίδου.

μακάριος ὅς τις εὐτυχῶν οἴκοι μένει.
ἐν γῇ δ' ὁ φόρτος καὶ πάλιν ναυτίλλεται.

Δημοσθένους.

Ἕως ἂν σώζηται τὸ σκάφος ἄν τε μεῖζον, ἄν τ' ἔλαττον ᾖ, τότε χρὴ καὶ ναύτην, καὶ κυβερνήτην, καὶ πάντ' ἄνδρα ἑξῆς πρόθυμον εἶναι, καὶ ὅπως μήθ' ἑκὼν μήτ' ἄκων μηδεὶς ἀνατρέψῃ τοῦτο σκοπεῖσθαι. ἐπειδὰν δ' ἡ θάλαττα ὑπέρσχῃ, μάταιος ἡ σπουδή.

ΠΕΡΙ ΞΕΝΗΣ.

Εὐριπίδου.

Πατρὶς καλῶς πράσσουσα τὸν εὐτυχοῦντ' ἀεὶ μείζω τίθησι, δυστυχοῦντα δ' ἀσθενῆ.

Τοῦ αὐτοῦ.

ὡς πανταχοῦ γε πατρὶς ἡ βόσκουσα γῆ.

Δημοσθένους.

Ξενιτείη μὲν αὐτάρκειαν διδάσκει. μᾶζα γὰρ καὶ στιβὰς, λιμοῦ καὶ κόπου γλυκύτατα ἰάματα.

Ανδρεί

Ἀνδρὶ σοφῷ, πᾶσα γῆ βατή. ψυχῆς γὰρ ἀγαθῆς, πατρὶς ὁ σύμπας κόσμος.
Ἀρίστιππος ἔφη. πανταχόθεν ἴση καὶ ὁμοία ἡ εἰς ᾅδου ὁδός.

ΠΕΡΙ ΟΡΓΗΣ.

Θεόγνιδος.

Οὐδὲν κύρν' ὀργῆς ἀδικώτερον, ἣ τὸν ἔχοντα
πημαίνει, θυμῷ δειλὰ χαριζομένη.

Εὐήνου.

πολλάκις ἀνθρώπων ὀργὴ νόον ἐξεκάλυψε
κρυπτόμενον, μανίας πολὺ χειρότερον.

Φιλήμονος.

μαινόμεθα πάντες ὅταν ὀργιζώμεθα.
τὸ γὰρ κατασχεῖν ὃ δεῖ τῆς ὀργῆς πόνος.

Τοῦ αὐτοῦ.

ἅπανθ' ὅσ' ὀργιζόμενος ἄνθρωπος ποιεῖ
ταῦθ' ὕστερον λάβοις ἂν ἡμαρτημένα.

Εὐριπίδου.

ὀργῇ γὰρ ὅς τις εὐθέως χαρίζεται,
κακῶς τελευτᾷ, πλεῖστα γὰρ σφάλλει βροτούς.

Τοῦ αὐτοῦ.

πολλοὺς θ' ὁ θυμὸς ὁ μέγας ὤλεσε βροτῶν
ἥ τε ἀσυνεσία. δύω κακὼ τοῖς χρωμένοις.

Τοῦ αὐτοῦ.

ὀργῇ δὲ φαύλῃ πολλ' ἔνεστ' ἀσχήμονα,
ἔξω γὰρ ὀργῆς πᾶς ἀνὴρ σοφώτατος.
πολλ' ἐστὶν ὀργῆς ἐξ ἀπαιδεύτου κακά.

Αἰσχύλου.

ὀργῆς ματαίας εἰσὶν αἴτιοι λόγοι.

Εὐριπίδου.

ὥσπερ δὲ θνητὸν καὶ τὸ σῶμ' ἡμῶν ἔφυ,
οὕτω προσήκει, μὴ δὲ τὴν ὀργὴν ἔχειν
ἀθάνατον ὅς τις σωφρονεῖν ἐπίσταται.

Νεόφρονος.

εἶεν, τί δράσεις θυμὲ βούλευσαι καλῶς.
πρὶν ἢ 'ξαμαρτεῖν καὶ τὰ προσφιλέστατα,
ἔχθιστα θέσθαι, ποῖ ποτ' ἐξῇξαι τάλας.
κάτισχε λῆμμα, καὶ σθένος θεοστυγές.
καὶ πρὸς τί ταῦτ' ὀδύρομαι ψυχὴν ἐμὴν
ὁρῶσ' ἔρημον καὶ παρημελημένην,
πρὸς ὧν ἐχρῆν ἥκιστα. μαλθακοὶ δὲ δὴ
τοιαῦτα γιγνόμεθα πάσχοντες κακά.
οὔ. μὴ προδώσεις θυμὲ σαυτὸν ἐν κακοῖς.
οἴμοι δέδοκται. παῖδες ἐκτὸς ὀμμάτων
ἀπέχετ'. ἤδη γάρ με φοινία μέγαν
δέδυκε λύσσα θυμόν. ὦ χεῖρες χεῖρες
πρὸς οἷον ἔργον ἐξοπλιζόμεθα. φεῦ,
τάλαινα τόλμης, ἣ πολὺν πόνον βραχεῖ
διαφθεροῦσα τὸν ἐμὸν ἔρχομαι χρόνῳ.

Εὐριπίδου.

οὐ νῦν κατεῖδον πρῶτον, ἀλλὰ πολλάκις
τραχεῖαν ὀργὴν ὡς ἀμήχανον κακόν.

Τοῦ αὐτοῦ.

δεινή τις ὀργὴ καὶ δυσίατος πέλει
ὅταν φίλοι φίλοισι συμμάλλωσ' ἔριν.

Ὁμήρου.

ἀλλ' Ἀχιλεῦ, δάμασον θυμὸν μέγαν, οὐδέ τι σε χρὴ
νηλεὲς ἦτορ ἔχειν. στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί.

Τοῦ αὐτοῦ.

οὕτω γὰρ αὖ τοι γαιήοχε κυανοχαῖτα
τόνδε φέρω Διὶ μῦθον, ἀπηνέα τε κρατερόν τε,
ἤ τι μεταστρέψεις. στρεπταὶ δέ τε φρένες ἐσθλῶν.

Σοφοκλέους.

ὦ μῶρε θυμὸς ἐν κακοῖς οὐ ξύμφορος.

Ἡροδότου.

Ὡς ἐν τοῖς ὠσὶ τῶν ἀνθρώπων οἰκέει ὁ θυμός. χρηστὰ μὲν ἀκούσας, τέρψιος ἐμπίπλησι τὸ σῶμα. ὑπεναντία δὲ τουτέοισιν ἀκούσας ἀνοιδαίνει.

Ἀπολλωνίου.

Τῆς ὀξυθυμίας τὸ ἄνθος, μανία.

Σωτίωνος.

Τοῖς δὲ σοφοῖς ἀντὶ ὀργῆς, Ἡρακλείτῳ μὲν δάκρυα, Δημοκρίτῳ δὲ γέλως ἐπῄει.

Πλάτων ὀργιζόμενος ποτὲ τῷ οἰκέτῃ, παρεστῶτος Ξενοκράτους, λαβὼν ἔφη τοῦτον μαστίγωσον,

ἐγὼ γὰρ ὀργίζομαι.

Πλουτάρχου.

Οἱ νεώνητοι δοῦλοι, οὐκ εἰ δεισιδαίμων ἢ φθονερὸς πυνθάνονται ὁ δεσπότης, ἀλλ' εἰ ὀργίλος.

Ναυκράτης ὁ σοφὸς τοὺς ὀξυθύμους παραπλήσιον ἔφη τοῖς λύχνοις πάσχειν. καὶ γὰρ τούτους πλείονι ἐλαίῳ ἐκκαίεσθαι.

Ἀριστοτέλους.

Ὁ θυμός ἐστι πάθος θηριῶδες μὲν τῇ διαθέσει, συνεχὲς δὲ τῇ λήψει, σκληρὸν καὶ βίαιον τῇ δυνάμει, φόνων αἴτιον, συμφορᾶς σύμμαχον, βλάβης συνεργὸν καὶ ἀτιμίας, χρημάτων ἀπώλεια. ἔτι δὲ καὶ φθορᾶς ἀρχηγόν.

Πλάτων ὀργισθεὶς πρός τινι τῶν δούλων, χάριν ἔχειν τοῖς θεοῖς ἐκέλευεν αὐτὸν ὅτι ὀργίζεται. κολασθῆναι γὰρ ἂν πάντως εἰ μὴ ὠργίζετο.

Ἡροδότου.

Τὰ ὀνείδεα κατιόντα ἀνθρώπῳ, φιλέει ἐπανάγειν τὸν θυμόν.

Ἀριστοτέλους.

ἢ οὐχ ὁρᾷς ὅτι τῶν ἐν ὀργῇ διαπραττομένων ἁπάντων, ὁ λογισμὸς ἀποδημεῖ, φεύγων τὸν θυμὸν ὡς πικρὸν τύραννον.

Κάτωνος.

Τὸν ὀργιζόμενον νόμιζε τοῦ μαινομένου χρόνῳ διαφέρειν.

Ἀρίστο

Ἀρίστωνος.

Τὴν κακολογίαν ἡ ὀργὴ φαίνεται ἀπογεννῶσα, ὥς περ ἡ μήτηρ οὐκ ἀστεία.

ΠΕΡΙ ΟΡΚΟΥ
καὶ ἐπιορκίας.

Ἀμφιδος.

ΟΣ τις γὰρ ὀμνύοντι μηδὲν πείθεται,
αὐτὸς ἐπιορκεῖν ῥαδίως ἐπίσταται.

Ἀντιφάνους.

δέσποιν' ὅταν τις ὀμνύοντος καταφρονῇ,
ᾧ μὴ σύνοιδε πρότερον ἐπιορκηκότι,
οὗτος καταφρονεῖν τῶν θεῶν ἐμοὶ δοκεῖ,
καὶ πρότερον ὀμόσας αὐτὸς ἐπιορκηκέναι.

Χοιρίλου περσηΐδος.

ὅρκον δ' οὔτ' ἄδικον χρεὼν ἔμμεναι οὔτε δίκαιον.

Ἀλέξιδος.

ὅρκος βέβαιος ἐστὶν ἂν νεύσω μόνον.

Τοῦ αὐτοῦ.

οὐ τοῖς γὰρ ὀμνύουσι τὸν φρονοῦντα δεῖ,
τοῖς πράγμασι δὲ αὐτοῖς πιστεύειν ἀεί.

Λυκούργου.

Δεῖ φίλοις, καὶ τοῖς οἰκείοις, βοηθεῖν, ἄνευ τοῦ μὴ ἐπιορκεῖν.

Ἰσοκράτους.

Ὅρκον ἐπακτὸν πρόσδεχου διὰ δύο προφάσεις, ἢ σαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ φίλους ἐκ μεγάλων κινδύνων διασώζων. ἕνεκα δὲ χρημάτων, μηδένα θεὸν ὀμόσῃς, μηδ' ἂν εὐορκεῖν μέλλῃς. δόξεις γὰρ τοῖς μὲν ἐπιορκεῖν, τοῖς δὲ φιλοχρημάτως ἔχειν.

Καλλιμάχου.

ὤμοσεν ἀλλὰ λέγουσι θεασοὺς ἐν ἔρωτι
  ὅρκους μὴ δύνειν οὔατ' ἐς ἀθανάτων.

Τοῦ αὐτοῦ.

ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος.

Διφίλου.

ὅρκος ἑταίρας ταυτὸ καὶ δημηγόρου,
ἑκάτερος αὐτῶν ὀμνύει πρὸς ὃν λαλεῖ.

Εὐριπίδου.

ἡ γλῶσσ' ὀμώμοχ' ἡ δὲ φρὴν ἀνώμοτος.

Μενάνδρου.

συγκέχυκε δὲ τὴν πίστιν ὁ καθ' ἡμᾶς βίος.

Εὔφρονος.

καινοὺς πορίζου πρός με θεῶν θεούς,
ἵνα τοὺς παλαιοὺς μὴ ἐπιορκῇς πολλάκις.

Εὐριπίδου.

συγγνώμονάς τοι τοὺς θεοὺς εἶναι δοκεῖ,
ἐάν τις ὅρκοις θάνατον ἐκφεύγειν θέλῃ,
ἢ δεσμὸν ἢ βίαια πολεμίων κακά.

ΠΕΡΙ ΠΕΝΘΟΥΣ.

Βακχυλίδου.

ΑΙ ἂι τέκος ἀμέτορον μεῖζον ἢ πενθεῖν
ἐφάνη κακὸν ἀφθέγκτοισιν ἴσον.

Σόλωνος.

μὴ δέ μοι ἄκλαυστος θάνατος μόλοι, ἀλλὰ φίλοισι
καλλίποιμι θανὼν, ἄλγεα, καὶ στοναχάς.

Εὐριπίδου.

ὡς ἡδὺ δάκρυα τοῖς κακῶς πεπονθόσι
θρήνων τ' ὀδυρμοὶ, μοῦσα θ' ἣ λύπας ἔχει.

Ομήρου.

τοῦτό νυ καὶ γέρας οἶον ὀϊζυροῖσι βροτοῖσι,
κείρασθαί τε κόμην, βαλέειν τ' ἀπὸ δάκρυ παρειῶν.

Τοῦ αὐτοῦ.

πάτροκλον κλαίωμεν. τὸ γὰρ γέρας ἐστὶ θανόντων.

Εὐριπίδου.

ἔστι καὶ παρὰ δάκρυσι κείμενον ἡδὺ βροτοῖς
ὅταν ἄνδρα φίλον στενάχῃ τις ἐν οἴκτῳ.

Τοῦ αὐτοῦ.

ἀλλ' ἔστι γὰρ δὴ καὶ ἐν κακοῖσιν ἡδονὴ
θνητοῖς ὀδυρμοὶ δακρύων τ' ἀπόῤῥοαί.
ἀλγηδόνας δὲ ταῦτα κουφίζει φρενῶν
καὶ καρδίας ἔλυσε τοὺς ἄγαν τόνους.

Τοῦ αὐτοῦ.

καὶ γὰρ πέφυκε τοῦτ' ἐν ἀνθρώπου φύσει

ἢν καὶ

ἣν καὶ δίκῃ θνήσκει τὶς, οὐχ ἧσσον πρέπει
πᾶς τις δακρύειν τοὺς προσήκοντας φίλους.

Σοφοκλέους.

ὡς ἄρ᾽ ὦ τέκνον ἐγὼ
ἐσπουδασμένως σοῦ τέρψιν εὐλογουμένου
ὡς ζῶντος, ἢ δ᾽ ἄρ᾽ ἐν σκότῳ λαθοῦσα με
ἔσαιν᾽ ἐρινὺς ἡδοναῖς ἐψευσμένον.

Φιλήμονος.

τί δὴ ποιεῖς πλέον; οὐδέν. ἡ λύπη δ᾽ ἔχει
ὥσπερ τὸ δένδρον τοῦτο καρπὸν τὸ δάκρυον.

Δημοσθένους.

Ἀλλ᾽ ἔχει τινὰ τοῖς ἀδικουμένοις ῥαστώνην, τὸ λέγειν ἃ πάσχουσιν. ὥσπερ τοῖς ἀλγοῦσι τὸ στένειν.

Ὀβείμου.

ἔστι δὲ ἀνθρώποις καὶ θρήνων χάρις, καὶ ταύτην ἔδωκεν ἡμῖν παραμυθίαν ἡ φύσις ἐν ταῖς τύχαις.

ΠΑΡΗΓΟΡΙΚΑ.

Ἀρχιλόχου.

Κήδεα μὲν στονόεντα περίκλεες, οὔτε τις ἀστῶν
μεμφόμενος θαλίης τέρψεται οὐδὲ πόλις.
τοίους γὰρ κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης
ἔκλαυσ᾽ οἰδαλέους δ᾽ ἀμφ᾽ ὀδύνῃ ἴσχομεν
πνεύμονας. ἀλλὰ θεοὶ γὰρ ἀνηκέστοισι κακοῖσιν
ὦ φίλ᾽ ἐπὶ κρατερὴν τλημοσύνην ἔθεσαν

φάρμα-

φάρμακον, ἄλλοτε δ' ἄλλος ἔχει τόδε. νῦν μὲν ἐς ἡμέας
ἐτράπεθ', αἱματόεν δ' ἕλκος ἀναστένομεν.
ἐξαῦτις δ' ἑτέρους ἐπαμείψεται, ἀλλὰ τάχιστα
τλῆτε, γυναικεῖον πένθος ἀπωσάμενοι.

Τιμοκλέους.

ὦ τὰν ἄκουσον ἤν τι σοι δοκῶ λέγειν,
ἄνθρωπός ἐστι ζῶον ἐπίπονον φύσει,
καὶ πολλὰ λυπηρὰ ὁ βίος ἐν ἑαυτῷ φέρει,
παραψυχὰς οὖν φροντίδων ἀνεύρατο
ταύτας. ὁ γὰρ νοῦς τῶν ἰδίων λήθην λαβὼν
πρὸς ἀλλοτρίῳ τε ψυχαγωγηθεὶς πάθει,
μεθ' ἡδονῆς ἀπῆλθε παιδευθεὶς ἅμα.
τοὺς γὰρ τραγῳδοὺς πρῶτον εἰ βούλει σκόπει,
ὡς ὠφελοῦσι πάντας. ὢν μὲν γὰρ πένης
πτωχότερον αὐτοῦ καταμαθὼν τὸν τήλεφον
γενόμενον, οὕτω τὴν πενίαν ῥᾷον φέρει.
ὁ νοσῶν τι μανικὸν ἀλκμαίωνα ἐσκέψατο.
ὀφθαλμιᾷ τις ἴσιφον ἴδε τυφλόν.
τέθνηκέ τῳ παῖς, ἡ νιόβη κεκούφικεν.
χωλός τίς ἐστι, τὸν φιλοκτήτην ὁρᾷ.
γέρων τις ἀτυχεῖ, κατέμαθε τὸν οἰνέα.
ἅπαντα γὰρ τὰ μείζονα ἢ πέπονθέ τις
ἀτυχήματ' ἄλλοις γεγονότ' ἐννοούμενος
τὰς αὐτὸς αὐτοῦ συμφορὰς ἧττον στένει.

Ὁμήρου.

ἴσχεο μὴ δ' ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν.

οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἷος αἰνῶς,
οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθησθα.

Τοῦ αὐτοῦ.

γαστέρι δ' οὔπως ἔστι νέκυν πενθῆσαι
μέλλει μέν πού τις καὶ φίλτερον ἄλλον ὀλέσαι
ἠὲ κασίγνητον ὁμογάστριον, ἠὲ καὶ υἱόν.
ἀλλ' ἤτοι κλαύσας καὶ ὀδυρόμενος μεθέηκε.
τλητὸν γὰρ μοῖραι θυμὸν θέσαν ἀνθρώποισι.
καὶ γάρ τ' ἠΰκομος νιόβη ἐμνήσατο σίτου
τῇ περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο.
ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες.

Σιμωνίδου.

τοῦ μὲν θανόντος οὐκ ἂν ἐνθυμοίμεθα,
εἴ τι φρονοῖμεν, πλεῖον ἡμέρας μιᾶς.

Μενάνδρου.

ἀνθρωπίνως δεῖ τὰς τύχας φέρειν ξένε
τὰ κοινὰ κοινῷ χρὴ φέρειν συμπτώματι.

Τοῦ αὐτοῦ.

πάντων ἰατρὸς τῶν ἀναγκαίων κακῶν
χρόνος ἐστίν, οὗτος καὶ σὲ νῦν ἰάσεται.

Αντιφάνους.

πενθεῖν δὲ μετρίως τοὺς προσήκοντας φίλους,
οὐ γὰρ τεθνᾶσιν, ἀλλὰ τὴν αὐτὴν ὁδὸν
ἣν πᾶσιν ἐλθεῖν ἔστ' ἀναγκαίως ἔχον,
προεληλύθασιν. εἶτα χ' ἡμεῖς ὕστερον,
εἰς ταὐτὸ καταγώγιον αὐτοῖς ἥξομεν,

κοινῇ

κοινὴ τὴν ἄλλον συνδιατρίψοντες χρόνον.

Εὐριπίδου.

παῦσαι δὲ λύπης τῶν τεθνηκότων ὕπερ
πᾶσι γὰρ ἀνθρώποισιν ἥδε πρὸς θεῶν
ψῆφος κέκραται κατθανεῖν τ᾽ ὀφείλεται.

Τοῦ αὐτοῦ.

τοῖς πᾶσιν ἀνθρώποισι κατθανεῖν μένει
κοινὸν δ᾽ ἔχοντες αὐτὸ κοινὰ πάσχομεν
πάντες. τὸ γὰρ χρεὼν μεῖζον ἢ τὸ μὴ χρεών.

Ιφίκλου.

λύπης δὲ πάσης γίνετ᾽ ἰατρὸς χρόνος.

Φιλήτου.

ἀλλ᾽ ὅτ᾽ ἐπὶ χρόνος ἔλθῃ ὃς ἐκ Διὸς ἄλγεα πέσσειν
ἔλλαχε, καὶ πενθέων φάρμακα μοῦνος ἔχει.

Τοῦ αὐτοῦ.

καὶ γάρ τις μελέοιο κορεσσάμενος κλαυθμοῖο
κήδεα δειλέων εἷλεν ἀπὸ πραπίδων.

Τοῦ αὐτοῦ.

ἐκ θυμοῦ κλαῦσαι μέγα μέτρια, καί τι προσηνὲς
εἰπεῖν, μεμνῆσθαι τ᾽ οὐκ ἔτ᾽ ἐόντος ὅμως.

Φιλέα.

οὐ κλαίω ξείνων σε φιλαίτατε. πολλὰ γὰρ ἔγνως
καλὰ, κακῶν δ᾽ αὖ σοὶ μοῖραν νέμει θεός.

Ομήρου.

αἰψηρὸς δὲ κόρος κρυεροῖο γόοιο
ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι

ζώειν ἀχνυμένους, αὐτοὶ δ' ἀκηδέες εἰσίν.

Σοφοκλέους.

ἀλλ' εἰ μὲν ἦν κλαίουσιν ἰᾶσθαι κακὰ
καὶ τὸν θανόντα δακρύοις ἀνιστάναι,
ὁ χρυσὸς ἥσσον ἂν κτῆμα τοῦ κλαίειν ἦν.
νῦν δ' ὦ γεραιὲ ταῦτ' ἀνηνύτως ἔχει,
τὸν μὲν τάφῳ κρυφθέντα πρὸς τὸ φῶς ἄγειν.
καί μοι γὰρ ἂν πατὴρ τε δακρύων χάριν,
ἀνῆκτ' ἂν εἰς φῶς.

Θεόγνιδος.

τόλμα θυμὲ κακοῖς ὅμως ἄτλητα πεπονθὼς
δειλῶν τοι κραδίη γίγνεται ὀξυτέρη.
μὴ δὲ σύ γ' ἀπρήκτοισιν ἐφ' ἔργμασιν ἄλγος ἀέξων
αὔχει, μὴ δ' αἴσχεα, μὴ δὲ φίλους ἀνία.
μὴ δ' ἐχθροὺς εὔφραινε. θεῶν δ' εἱμαρμένα δῶρα
ἃ οὐ ῥηϊδίως θνητὸς ἀνὴρ προφύγοι.

Εὐριπίδου.

γίνωσκε τἀνθρώπεια, μὴ δ' ὑπὲρ μέτρως
ἄλγει. κακῶς γὰρ οὐ σὺ πρόσκεισαι μόνη.

Τοῦ αὐτοῦ.

πέπονθεν οἷα καὶ σὲ καὶ πάντας μένει.

Πυθαγόρου.

φείδεο ζωῆς, μή μιν καταθυμοβορήσης.

Πολυαίνου.

Επὶ τοῖς ἀποθνήσκουσι μὴ λυποῦ, ἀναγκαῖον γὰρ, ἀλ
λ' ἐπὶ τοῖς αἰσχρῶς τελευτῶσι.

Ἄμασις πρός τινα τὸν υἱὸν ἀποβαλόντα, εἶπεν. εἰ ὅτι οὐδέπω ἦν οὐκ ἐλύπου, μὴ δὲ νῦν λυπηθῇς, ὅτι οὐκ ἔστιν.

ΕΠΑΙΝΟΣ ΠΛΟΥΤΟΥ.

Εὐριπίδου.

Ὦ Χρυσὲ δεξίωμα κάλλιστον βροτοῖς.
ὡς οὐδὲ μήτηρ ἡδονὰς τοίας ἔχει
οὐ παῖδες ἀνθρώποισιν, οὐ φίλος πατήρ.
εἰ δ᾽ ἡ κύπρις τοιοῦτον ὀφθαλμοῖς ὁρᾷ,
οὐ θαῦμ᾽ ἔρωτας μυρίους αὐτὴν τρέφειν.

Τοῦ αὐτοῦ.

ἐν τοῖς τοιούτοις ἡνίκ᾽ ἂν γνώμης πέσω
σκοπῶ τὰ χρήμαθ᾽ ὡς ἔχει μέγα σθένος,
φίλοις τε δοῦναι. σῶμά τ᾽ εἰς νόσον πεσὸν
δαπάναισι σῶσαι. τοῦ δ᾽ ἐφημέρου βορᾶς
εἰς μικρὸν ἥκει. πᾶς γὰρ ἐμπλησθεὶς ἀνὴρ
ὁ πλούσιός τε καὶ πένης ἴσον φέρει.

Τοῦ αὐτοῦ.

ἐπίσταμαι δὲ καὶ πεπείραμαι λίαν
ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι.

Τοῦ αὐτοῦ.

οὐ γὰρ παρὰ κρητῆρα καὶ θοίνην μόνον
τὰ χρήματ᾽ ἀνθρώποισιν ἡδονὰς ἔχει,
ἀλλ᾽ ἐν κακοῖσι δύναμιν οὐ μικρὰν φέρει.

Μενάνδρου.

τοῦτο μόνον ἐπισκοτεῖ καὶ δυσγένειαν, καὶ τρόπου πονηρίαν,
καὶ πᾶσιν οἷς ἔσχηκεν ἄνθρωπος κακοῖς.
τὸ πολλὰ κεκτῆσθαι. τὰ δ' ἄλλ' ἐλέγχεται.

Θεόγνιδος.

ἀλλὰ χρὴ ταύτην γνώμην πάντας καταθέσθαι
ὡς πλοῦτος πλείστην πᾶσιν ἔχει δύναμιν.

Τοῦ αὐτοῦ.

οὔ σε μάτην ὦ πλοῦτε θεοὶ τιμῶσι μάλιστα.
σὺ γὰρ ῥηϊδίως τὴν κακότητα φόρεις.

Τοῦ αὐτοῦ.

πᾶσι δ' ἀνθρώποις ἀρετὴ μία γίγνεται ἥδε
πλουτεῖν τῶν δ' ἄλλων οὐδὲν ἄρ' ἦν ὄφελος.
οὐδ' εἰ σωφροσύνην μὲν ἔχει ῥαδαμάνθυος αὐτοῦ,
πλείονα δ' εἰδείη σισύφου αἰολίδεω.
καὶ γὰρ ζεὺς πλοῦτον μὲν ἔχειν ἀγαθοῖσιν ἔδωκεν
ἡ πενίη δὲ σοφῷ σύμφορον ἀνδρὶ φόρειν.

Εὐριπίδου.

πάλαι μὲν οὖν ὑμνηθὲν ἀλλ' ὅμως ἐρῶ.
τὰ χρήματ' ἀνθρώποισι τιμιώτατα,
δύναμίν τε πλείστην τῶν ἐν ἀνθρώποις ἔχει.

Χαιρήμονος.

πλοῦτος δὲ πρὸς μὲν τὰς ἄλλας τιμὰς ἰὼν
οὐκ ἔσχεν ὄγκον, ὥς τε καὶ δόξης τυχεῖν,
ἀλλ' ἐστὶ σεμνός. ἐν δὲ δόσει βροτῶν
ἡδὺς συνοικεῖν καί τιν' εἰληχὼς χάριν.

Φιλή-

Φιλήμονος.

τὸ τῆς ἀμαλθείας δοκεῖς εἶναι κέρας
οἷον γράφουσιν οἱ γραφεῖς κέρας βοός;
ἀργύριόν ἐστι τοῦτ᾽ ἐὰν ἔχῃς λέγε.
πρὸς τοῦτ᾽ εἰ βούλει πάντα σοι γενήσεται,
φίλοι, βοηθοί, μάρτυρες, συνοικίαι.

Αντιφάνους.

ἄρ᾽ ἐστὶ λῆρος πάντα πρὸς τὸ χρυσίον.
μόνον γὰρ ἀεὶ διαμένειν εἴωθ᾽ ἀεί,
τὸ χρῶμα δ᾽ αὐτό, τῶν φίλων δὲ τοὺς τρόπους
οὐδέ ποθ᾽ ὁμοίως ζωγραφοῦσιν αἱ τύχαι.
πλοῦτος δὲ βάσανός ἐστιν ἀνθρώπου τρόπων.
ὅταν εὐποροῦν γὰρ αἰσχρὰ πράττῃ πράγματα,
τί τοῦτον ἀπορήσαντ᾽ ἂν οὐκ οἴει ποιεῖν.

Τιμοκλέους.

τἀργύριόν ἐστιν αἷμα καὶ ψυχὴ βροτοῖς.
ὅς τις δὲ μὴ ἔχει τοῦτο μηδ᾽ ἐκτήσατο,
οὗτος μετὰ ζώντων τεθνηκὼς περιπατεῖ.

Διφίλου.

ἰσχυρότερον κρίνω τὸ χρυσίον πολύ,
τὰ πάντα τούτῳ τέμνεται καὶ πράττεται.

Εὐριπίδου.

χρυσὸν μάλιστα βούλομ᾽ ἐν δόμοις ἔχειν,
καὶ δοῦλος ὢν γὰρ τίμιος πλουτῶν ἀνήρ,
ἐλεύθερος δὲ χρεῖος ὤν, οὐδὲν σθένει,
χρυσοῦ νόμιζ᾽ αὐτὴν οὕνεκ᾽ εὐτυχεῖν.

Τοῦ αὐ-

Τοῦ αὐτοῦ.

τὴν δ' εὐγένειαν πρὸς θεῶν μή μοι λέγε·
ἐν χρήμασι τόδ' ἐστί, μὴ γαυροῦ πάτερ.
κύκλω γὰρ ἕρπει, τῷ μὲν ἔσθ' ὁ δ' οὐκ ἔχει.
κοινοῖσι δ' αὐτοῖς χρώμεθα. ᾧ δ' ἂν ἐν δόμοις
χρόνον συνοικεῖ πλεῖστον, οὗτος εὐτυχής.

Τοῦ αὐτοῦ.

ἔχειν τε πειρῶ, τοῦτο μὲν τό τ' εὐγενὲς
καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους ἔχειν.
ἐν τῷ πένεσθαι δ' ἐστὶν ἥ τ' ἀδοξία
κἂν ᾖ σοφός τις ἥ τ' ἀτιμία μένει.

Τοῦ αὐτοῦ.

ἆρ' οἶσθ' ὅτ' οὖν ἔχοιμεν εὐγενεῖς κροτῶν
πένητας ὄντας οὐδὲν ἐμφαίνουσ' ἔτι.
οἳ δ' οὐδὲν ἦσαν πρόσθεν, ὄλβιοι δὲ νῦν,
δόξαν φέρονται τοῦ νομίσματος χάριν,
καὶ συμπλέκονται σπέρμα, καὶ γάμους τέκνων.
δοῦναι δὲ μᾶλλον πλουσίῳ πᾶς τις κακῷ
πρόθυμός ἐστιν ἢ πένητι κἀγαθῷ.

Τοῦ αὐτοῦ.

Ἀγάμεμνον, ἀνθρώποισι πᾶσιν αἱ τύχαι,
μορφὴν ἔχουσι, συντρέχει δ' εἰς χρήματα.
τούτου δὲ πάντες οἵ τε μουσικῆς φίλοι
ὅσοι τε χωρὶς ζῶσι χρημάτων ὕπερ
μοχθοῦσιν, ὃς δ' ἂν πλεῖστ' ἔχει σοφώτατος.

Θεόγνι

Θεόγνιδος.

πλοῦτος καὶ σοφίη θνητοῖς ἀμαχώτατον αἰεί.
οὔτε γὰρ ἂν πλούτου θυμὸν ὑπερκορέσαις.
ὡς δ' αὔτως σοφίην ὁ σοφώτατος οὐκ ἀποφεύγει.
ἀλλ' ἔραται, θυμὸν δ' οὐ δύναται κορέσαι.

Σοφοκλέους.

τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους,
αὖθις δὲ τιμάς. εἶτα τῆς ὑπερτάτης
τυραννίδος ἥκουσιν ἀγχίστην ἕδραν.
ἔπειτα δ' οὐδεὶς ἐχθρὸς οὔτε φύεται
πρὸς χρήμαθ' οἵ τε φύντες ἀρνοῦνται στυγεῖν.
δεινὸς γὰρ ἕρπειν πλοῦτος ἔς τε τὰ βατὰ,
καὶ πρὸς τ' ἄβατα, χὤπόθεν πένης ἀνὴρ
μὴ δ' ἐυτυχὼν δύναιτ' ἂν ὧν ἐρᾷ τυχεῖν;
καὶ γὰρ δυσειδὲς σῶμα καὶ δυσώνυμον
γλώσσῃ σοφὸν τίθησιν εὔμορφόν τ' ἰδεῖν.
μόνῳ δὲ χαίρειν καὶ νοσεῖν ἐξουσία
πάρεστιν αὐτῷ κἀπικρύψασθαι κακά.

Μενάνδρου.

ὁ μὲν ἐπίχαρμος τοὺς θεοὺς εἶναι λέγει
ἀνέμους, ἥλιον, γῆν, ὕδωρ, πῦρ, ἀστέρας,
ἐγὼ δ' ὑπέλαβον χρησίμους εἶναι θεοὺς
τὸ ἀργύριον ἡμῶν καὶ τὸ χρυσίον.
ἱδρυσάμενος τούτους γὰρ εἰς τὴν οἰκίαν
εὔξαι τί βούλει, πάντα σοι γενήσεται,
ἀγρὸς, οἰκία, θεράποντες, ἀργυρώματα,

φίλοι, δικασταί, μάρτυρες, μόνον δίδου.
αὐτοὺς γὰρ ἕξεις τοὺς θεοὺς ὑπηρέτας.

Σιμωνίδης ἐρωτηθεὶς πότερον αἱρετώτερον πλοῦτος ἢ σοφία, οὐκ οἶδα ἔφη. ὁρῶ γὰρ τοὺς σοφοὺς ἐπὶ τὰς θύρας τῶν πλουσίων φοιτῶντας.

Δεῖ δὲ χρημάτων. καὶ ἄνευ τούτων οὐδὲν ἔστι τῶν δεόντων γενέσθαι.

Αὐτὸς μὲν οὖν πλοῦτος ὑπεμνύετο χρείας ἀνθρώπων διορθοῦν, ἢ τελεῖν ἐπιθυμίας, ἢ βλάβαις ἀντέχειν. ἐπιμελεῖσθαι σώματος. ψυχῇ χαρίζεσθαι. πρέπειν μὲν εἰρήνῃ. πολέμοις δὲ παρέχειν. θεραπεύειν δ' ἐκ νόσων. παρέχειν δὲ ταῖς ὥραις βοηθήματα. ἀλέας μὲν ἐν τοῖς πάγοις, ἐκτροπὰς δ' ἀπὸ θέρους. αὐξάνειν δ' οἴκους, καὶ διαδοχὰς μεγάλων φυλάττειν γενῶν. γάμους ποιεῖν μείζονας, παιδοτριΐα βοηθεῖν. κόσμῳ δ' ἔπεστιν ἱερά, καλλίονες δ' ἐξ ἐμοῦ, καὶ πόλεις. ἐμὰ δὲ ὄντα καὶ τείχη, καὶ λιμένες, καὶ στόλοι. ποταμοὺς δ' ἀβάτους γεφύραις σκέπω, καὶ τὴν κεχωρισμένην ἥρμοσα. ἐμοῦ δ' ἐμπορίαι δέονται, καὶ γεωργία δ' αὐτὴ δαπάνας ἀπαιτεῖ ἐκ τῶν ἐμῶν ταμείων. γῆ γὰρ οὐδὲ αὐτὴ δίδωσιν αὐτόματον ἂν μὴ προλάβῃ. λαβεῖν δὲ ἐκ μόνων ἔχει τῶν ἐμῶν. δίδωμι δὲ ἀφορμὰς καὶ τοῖς ἄλλοις ἅπασι. κάλλει μὲν ἐκ κόσμου, πλεῖστα συλλαμβάνω. διακονοῦμαι. παιδείᾳ δ' ἁπάσῃ διδασκάλους ἐγὼ παρέχομαι. πόθεν δοῦλαι γυναιξὶν εἰς ταλασίας. πόθεν δ' ὅ-

θεῶν δ' ὅπλα τοῖς ἀνδράσιν. ἐλέφας δὲ καὶ χρυσὸς ὁ τοῖς ἀγάλμασιν ἁρμόσας ἐμός ἐστιν. δι' ἐμοῦ μεγάλαι πόλεις. βασιλεῖαι δ' ἐξ ἐμοῦ δυνατώταται. τριῶν δὲ ἑορτὰς ἐγώ, τράπεζα δέ μοι φιλόξενος. χειρότεραι δ' εὐεργεσίαι. δι' ἐμοῦ μεγάλαι ἀμοιβαί. δύναται δ' ὁ ἔχων ἐμὲ μὴ μόνος εὐτυχεῖν, ἀλλ' εὐτυχίας χαρίζεσθαι. τέχνας δὲ πάσας τριῶν κρείττονας ἐν τῇ ἐλπίδι. μισθὸς γὰρ αὐτὰς ὁ μέγας τρέφει. γίνεται δ' ἐξ ἐμοῦ. καὶ σὺ δ' αὐτὸς ὦ Ζεῦ, πλοῦτον ἀνθρώποις ἀναγκαῖον ἀπέφηνας. ὃς σῶμα δέδωκας ἐνδεὲς τῶν δεόμενον, οὐ θριξὶν ὡς τὰ ἄλλα καὶ δοραῖς σκεπόμενον. τροφὴν δὲ οὐ πόαν, οὐδὲ ταὐτόματα, ἀλλ' ἀεί τινα δεῖ πορίσασθαι τὴν ζωήν. οἴκου δὲ ἀνάγκην ἔδωκας. πόλεις δ' ἥρμοσας, νόσοι δ' ἐν ἀνθρώποις εἰσίν. ἐφ' ἅπαντα δεῖ χρημάτων. διὰ τί με μὴ καλεῖς εὐδαίμονα, δι' οὗ τὰς ὑπὲρ πάντα χρείας ἔχεις. ταῦθ' ὁ πλοῦτος εἰπών, ἐδόκει νενικηκέναι, καὶ περιέβλεπεν ὡς μακαριζόμενος. ἐβοήθει μὲν αὐτῷ κρατοῦσα ἡ τέχνη κρίνεσθαι μετ' αὐτοῦ δοκοῦσα. μέγιστον γὰρ αὐτῇ ἀπόλλοιτο, εἰ πλοῦτος οὐκ ἀγαθόν ἐστιν. ἦγε δὲ καὶ θεὰς ἄλλας μετ' αὐτοῦ συνηγόρους τε καὶ μάρτυρας, ἡδονάς, ἐλπίδας, εὐχάς, ἐπιθυμίας. ἔρως αὐτῷ συνέπραττεν ὡς πολλαχοῦ. ὑγεία καὶ αὐτὴ χάριν εἶχεν ὡς δι' αὐτοῦ νόσοις μαχομένη. δύο δ' ἦλθον ἐναντίαι μὲν ἀλλήλαις, οἰκονομία, καὶ τρυφή. πλὴν τούτου δὲ ἀμφότεραι. σὺν αὐτῷ δ' ἐδόκουν ἀπόλλυσθαι. τούτοις δὲ ὁ πλοῦτος ἦν.

ΟΣΑ Ο ΠΛΟΥΤΟΣ ΠΟΙΕΙ.

Εὐριπίδου.

Ἀλλ' οὐδὲν ἡ εὐγένεια πρὸς τὰ χρήματα.
τὸν γὰρ κάκιστον πλοῦτος εἰς πρώτους ἄγει.

Τοῦ αὐτοῦ.

πλούτου δ' ἀχρυσοῦντος ἀσθενεῖς γάμοι,
τὴν μὲν γὰρ εὐγένειαν αἰνοῦσι βροτοί,
μᾶλλον δὲ κηδεύουσι τοῖς εὐδαίμοσιν.

Τοῦ αὐτοῦ.

ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι,
ἔστι δ' ἐν ὄλβῳ καὶ τόδ' οὐκ ὀρθῶς ἔχον
εὐψυχίας δόκησις. οἰόμεσθα γὰρ
τὸν εὐτυχοῦντα πάντ' ἐπίστασθαι χρεών.

Μενάνδρου.

πλοῦτος ἀλόγιστος προσλαβὼν ἐξουσίαν,
καὶ τοὺς φρονεῖν δοκοῦντας ἀνοήτους ποιεῖ.

Θεόγνιδος.

πολλοὶ πλοῦτον ἔχουσιν ἀΐδριες. οἱ δὲ τὰ καλὰ
ζητοῦσι, χαλεπῇ τειρόμενοι πενίῃ.
ἔρδειν δ' ἀμφοτέροισιν ἀμηχανίη παράκειται,
εἴργει γὰρ τοὺς μὲν χρήματα τοὺς δὲ νόος.

Πλουτάρχου.

Μὴ παιδὶ μάχαιραν ἡ παροιμία φησίν. ἐγὼ δὲ φαίην, μὴ παιδὶ πλοῦτον, μὴ δὲ ἀνδρὶ ἀπαιδευσίαν.

Δημο-

Δημοσθένους.

Ὥσπερ ἐν μὲν τοῖς ἕλκεσι φαγέδαινα κάκιστον νόσημα, οὕτως ἐν τοῖς χρήμασι τὸ μὴ προσαρμόσαι, καὶ τὸ συνεχές.

Καρκίνου.

ἀσκεῖν μὲν ἀρετὴν, ἐυτυχεῖν δ' αὐτεῖν θεοὺς,
ἔχων γὰρ ἄμφω ταῦτα, μακάριος θ' ἅμα
κεκλημένος ζῆν κἀγαθὸς δυνήσεται.

Βρούτου.

ὦ τλῆμον ἀρετὴ, λόγος ἄρ' ἦσθα μόνος. ἐγὼ δέ σε ὡς ἔργον ἐτίμων, σὺ δ' ἐδούλευες τύχῃ.

Τέλητος ἐκ τοῦ περὶ συγκρίσεως πλούτου καὶ πενίας.

Δοκεῖ μοι ἡ τῶν χρημάτων κτῆσις, ἀπάνεως καὶ ἐνδείας παραλύειν. καὶ πῶς οὐχ ὁρᾷς ἐνίους κεκτημένους μὲν πολλὰ ὡς δοκοῦσιν, οὐ χρωμένους δὲ τούτοις διὰ ἀνελευθερίαν, καὶ ῥυπαρίαν; ἀλλ' ὥσπερ ὁ πρίαμος οὐδ' ἔτλη ἕζεσθαι ἐπὶ θρόνου, πολλῶν κατ' οἶκον ἐόντων, ἀλλὰ χαμαὶ ἐκάθητο κυλινδούμενος κατὰ κόπρον, οὕτως ἔνιοι πολλῶν ὑπαρχόντων αὐτοῖς, διὰ ἀνελευθερίαν οὐδενὸς γεύονται, οὐδὲ ἅπτονται, ἀλλὰ πλείω οἱ μῦς κατεσθίουσι, καὶ οἱ μύρμηκες, ἢ αὐτοί. ὥσπερ ὁ λαέρτης, ἀγροῦ ἐπ' ἐσχατιῇ ξὺν ἀμφιπόλῳ, ἥ οἱ βρῶσιν τε πόσιν τε παρτίθει. εἰς ἀγρὸν ἀπελθὼν μόνος μετὰ γραϊδίου, κακουχεῖ αὑτὸν καὶ ξηραίνει. οἱ δὲ μνηστῆρες τὰ ἐκείνου. καὶ ὥσπερ ὁ τάνταλος ἐν

λίμνη ἕστηκε, καὶ κεκρατῆς δὲ καρποί. ἀλλ' ὁπότ' ἰθύσει ὁ γέρων πιεῖν, ἢ τῶν καρπῶν ἅψασθαι. ἡ μὲν λίμνη ξηρὰ ἐγίνετο. τοὺς δ' ἄνεμος ῥίπτασκε ποτὶ νέφεα σκιόεντα. οὕτως ἐνίων ἡ ἀνελευθερία, καὶ δυσελπιστία, καὶ τὸν οἶνον, καὶ τὸν σῖτον, καὶ τὴν ὀπώραν ῥίπτασκεν. οὐ ποτὶ νέφεα. ἀλλ' ἃ μὲν εἰς τὴν ἀγοράν. ἃ δὲ εἰς τὸ καπηλεῖον, καὶ ἐπιθυμοῦντες οὐδενὸς γεύονται. καὶ ἐὰν μὲν πρὸς ἑτέρων κληθῇ, ἐκπαθῶς ἀπολαύει. αὐτὸς δὲ ἔχων οὐθενὶ ἂν παρέχοι. ἀλλ' ἐπιθυμῶν στρατεύεται. καὶ εἰ μέν τις αὐτὸν ὀξίζοι, τὸν τοιοῦτον πολέμιον ἂν ἡγοῖτο. ἑαυτὸν δὲ ὀξίζων, οὐ δοκεῖ εἶναι πολέμιος. οὐκ ἀηδῶς δ' ἔμοιγε δοκοῦσι καὶ οἱ ἀρχαῖοι πρὸς ταῦτα ἐρωτᾶν. ὃ μὴ ἀπολύει ἀπληστίας καὶ ἀνελευθερίας καὶ ἀλαζονείας ἄνθρωπον, οὐδὲ ἐνδείας, οὐδὲ σπάνεως ἀπολύει. ὅθεν δὲ τῶν τοιούτων ἀπληστίας καὶ ἀνελευθερίας ἀπολύει. τὸν γὰρ τρόπον οὐ μετατίθησιν. ὥσπερ οὐδὲ τῶν σωφρονούντων ἡ πενία, ἐὰν ἐκ πλουσίων πένητες γένωνται. θᾶττον γὰρ ἄν ἔμοιγε δοκεῖ τις εἰπεῖν, ὡς τὴν χρόαν, τὸ μέγεθος, ἢ τὴν ὄψιν μετατίθησιν, ἡ τῶν χρημάτων κτῆσις, ἢ περὶ τὸν τρόπον. ἕως δ' ἂν ᾖ οὗτος ἄπληστος, ἀνελεύθερος, ἀλαζών, δειλός, ἐν ἐνδείᾳ καὶ σπάνει ἔσται. καὶ πῶς σπανίζουσιν οὗτοι τούτων ἃ ἔχουσι; πῶς δέ οἱ τραπεζῖται φησὶν ὁ Βίων χρημάτων, ἔχοντες αὐτά. οὐ γὰρ αὐτῶν ὄντα ἔχουσιν. οὐδὲ γὰρ αὐτοὶ αὐτῶν. εἰ δὲ καὶ ὄντα, τίς σοι διώκει τοῦ παρόντος. ἀλλ' ὅμοιόν ἐστι τὸ οὕτως ἔχειν, ὅταν ἀδυ-

νατῇ

ναι αὐτοῖς χρῆσθαι. ἢ τί διαφέρει μὴ ἔχειν, ἢ οὕτως ἔχειν, ὡς αἱ φορνίδες τὸν ὀφθαλμὸν ἀρκείμεναι. αὐτὰς δὲ εἰς φραγμοὺς καὶ βόθρους καὶ βόρβορον ἐμπίπτειν, μηθὲν προορωμένας, ἀλλ᾽ ἐώσας ἀρκεῖσθαι, ἕως ὅτε καὶ αὐτὸν τὸν ὀφθαλμὸν ὁ πόρσευς ὑφείλετο. ἢ τί διαφέρει μὴ ἔχειν ζοφὴν ἢ τοιαύτην ἔχειν, ἰχθὺς καὶ πολυστόρια, ἧς οὐ μὴ γεύσηται, ἢ αἰγυπτίω κυύα ἢ ἕλληνι κρανίον ἀνθρώπου. ὁμοίως γὰρ σπανιεῖ τροφῆς, καὶ ἔχων ταύτην καὶ μὴ ἔχων. τί οὖν ὄφελος τὸ οὕτως ἔχειν. ἐπεὶ καὶ σὺ ἀργύρειον ἔχεις, ἀλλ᾽ οὐ μὴ χρήσῃ διὰ ῥυπαρίαν καὶ δειλίαν. διὸ καὶ οἱ ἀρχαῖοι ἔλεγον οὐκ ἀηδῶς. ἔφασαν γοῦν τῶν ἀνθρώπων, οὓς μὲν χρήματα ἔχειν. οὓς δὲ κτήματα. οὓς μὲν γὰρ χρῆσθαι τοῖς ὑπάρχουσιν, οὓς δὲ μόνον κεκτῆσθαι, οὔτε ἑαυτοῖς, οὔτε ἄλλοις μεταδιδόντας προϊεμένους. καὶ ὃν τρόπον ὅταν βασιλεύς, ἢ δυνάστης τὰ ὑπάρχοντα παρασφραγίσηται, οὐκ ἔστιν ἅψασθαι, οὕτως ἐνίων ἡ ἀνελευθερία καὶ δυσελπιστία, τὰ ὑπάρχοντα παρασφράγισαι, οὐκ ἐῶσα ἅψασθαι. ἀλλὰ σπανίζουσι, καὶ ἐν ἐνδείᾳ εἰσίν. ἐπιθυμοῦντες μετὰ πολλῶν. χρῆσθαι δὲ οὐ δυνάμενοι. διὸ καὶ ὁ κράτης πρὸς τὸν ἐπιζητοῦντα, τί οὖν μοι ἔσται φιλοσοφήσαντι, δυνήσῃ φησὶ τὸ φασκώλιον ῥαδίως λῦσαι, καὶ τῇ χειρὶ ἐξελὼν εὐλύτως δοῦναι, καὶ οὐχ ὥσπερ νῦν, στρέφων, καὶ μέλλων, καὶ τρέμων, ὥσπερ οἱ παραλελυμένοι τὰς χεῖρας. ἀλλὰ καὶ πλῆρες ὂν αὐτό, οὕτως ὄψει, καὶ κενούμενον ἰδὼν, οὐ δυνήσῃ. καὶ χρῆσθαι προελόμενος, ῥαδίως

δυνήσῃ

δυνήσῃ, καὶ μὴ ἔχων οὐκ ἐπιποθήσεις, ἀλλὰ βιώσῃ ἀρκούμενος τοῖς παροῦσι, τῶν ἀπόντων οὐκ ἐπιθυμῶν, τοῖς συμβεβηκόσιν οὐ δυσαρεστῶν. καὶ εἴ τις κέλεται ἢ αὐτὸς ἐνδείας καὶ σπάνεως ἀπολυθῆναι, ἢ ἄλλον παραλῦσαι, μὴ χρήματα αὐτῷ ζητείτω. ὅμοιον γάρ φησιν ὁ κίων, ὡς εἴ τις τὸν ὑδρωπικὸν κελευόμενος παῦσαι τοῦ δίψους, τὸν μὲν ὕδρωπα μὴ θεραπεύοι, κρήνας δὲ καὶ ποταμοὺς αὐτῷ παρασκευάζοι. ἐκεῖνός τε γὰρ ἂν πρότερον πίνων διαρραγείη, ἢ παύσαιτο τοῦ δίψους. οὗτός τε οὐκ ἄν ποθ' ἱκανωθείη, ὅταν ᾖ ἄπληστος καὶ δοξοκόπος καὶ δεισιδαίμων. διὸ καὶ εἰ βούλει τὸν υἱόν σου τῆς ἐνδείας καὶ σπάνεως παῦσαι, μὴ πρὸς τὸν Πτολεμαῖον πέμπε ὅπως χρήματα κτήσηται. εἰ δὲ μή, ἀλαζονείαν προσλαβὼν ἀπελεύσεται. περανεῖ δὲ οὐδέν. ἀλλ' εἰς ἀκαδημίαν πρὸς Κράτητα. ἐκεῖνος ἠδύνατ' ἐξ ἀπλήστων καὶ πολυτελῶν, ἐλευθερίους, καὶ ἀφελεῖς κατασκευάζειν. καὶ Μητροκλῆς δὲ ἐκεῖνος ἔφη, ὡς ἔοικεν ὅτε μὲν παρὰ Θεοφράστῳ καὶ Ξενοκράτει σχολάζοι, πολλῶν αὐτῷ ἐξ οἴκου ἀποστελλομένων, φοβεῖσθαι μὴ τῷ λιμῷ ἀποθάνοι, καὶ ἀεὶ σπανίζειν καὶ ἐνδεὴς εἶναι. μεταβὰς δὲ ὕστερον πρὸς Κράτητα, κἂν ἄλλον προστρέφειν, μηδενὸς πεμπομένου. τότε μέν γε ἐξ ἀνάγκης ἔδει ὑπόδημα ἔχειν, καὶ τότε ἀκάττυτον, ἥλους οὐκ ἔχων. εἶτα χλανίδα, παίδων ἀκολουθίαν, οἰκίαν μεγάλην, εἰς τὸ συνδεῖπνον ὅπως ἄρτοι καθαροί, ὄψον μὴ τὸ τυχόν.

οἶνος

οἶνος ἡδύς. ὑποδοχὰς τὰς ἐπιβαλλούσας, ἵνα πο-
λυτελῶσιν. ἐλευθέριος γὰρ παρ' αὐτοῖς ἡ τοιαύτη ἀ-
ναστροφὴ ἐκρίνετο. πρὸς κράτητα δὲ μεταβάντι, οὐ-
δὲν ἦν τούτων. ἀλλ' ἀφελέστερος τῷ τρόπῳ γινόμε-
νος, ἠρκεῖτο τρίβωνι, καὶ μάζῃ, καὶ λαχανίοις, οὐκ
ἐπιποθῶν τὴν προτέραν δίαιταν, οὐδὲ τῇ παρούσῃ
δυσχεραίνων. πρὸς ῥῖγος ἡμεῖς μὲν ζητοῦμεν πα-
χύτερον ἱμάτιον. ἐκεῖνος δὲ διπλώσας τὸν τρίβω-
να περιῄει, τρόπον τινὰ δύο ἱμάτια ἔχων. εἰ ἀλείψα-
σθαι χρείαν ἔχοι, εἰσελθὼν εἰς τὸ βαλανεῖον, τῷ γλοιῷ
ἠλείψατο, καὶ βαδίσας ἐνίοτε πρὸς τὴν κάμινον, περι-
εχέας ἂν ἐλάδιον, καθίσας ἠρίστησε. καὶ ἐκάθευδε
τὸ μὲν θέρος, ἐν τοῖς ἱεροῖς. τὸν δὲ χειμῶνα ἐν τοῖς βα-
λανείοις, οὐ σπανίζων ὥσπερ πρότερον, οὐδὲ ἐνδεὴς ὤν,
ἀλλ' ἀρκούμενος τοῖς παροῦσι, διακόνου οὐκ ἐπιθυ-
μῶν ἔχειν. θαυμαστὸν μὲν γάρ φησιν, εἰ μάνης μὲν
διογένους αὐτοῦ δυνήσεται ζῆν. διογένης δὲ αὐτοῦ μα-
νέντος, οὐ δυνήσεται θαρρεῖν. ὅταν δὲ πωλήσας ἀλα-
ζόνα, πολυτελῆ, δεισιδαίμονα, δοξοκόπον, ἄπληστον,
χρήματα πολλὰ δίδως, οὐδὲν περαίνεις. τούτου δὲ
μένοντος τοῦ αὐτοῦ ὁμοίως οὐκ ἀρκεῖται, οὐδ' ἱκανεῖ-
ται, ἀλλ' ἐπιθυμίας καὶ ἐπιβολὰς τοσούτων καὶ τοιού-
των ἔχει, δι' ὧν ἐν ἐνδείᾳ καὶ σπάνει ἔσται. ἄπλη-
στον γὰρ ἔχουσι κακοὶ νόον. καὶ παῖς μὲν ὤν, ἐπιθυμεῖ
ἔφηβος γενέσθαι. ἔφηβος δὲ γενόμενος, ζητεῖ πάλιν

τὸ χλαμύδιον ἀποθέσθαι. ὅταν δὲ ἀνδρωθῇ, πάλιν εἰς τὸ γῆρας ἀποδύεται. νῦν δέ φησιν ἀβίωτος ὁ υἱός, στρατεία, λειτουργία, πολιτικὰ πράγματα, σχολάσαι αὐτῷ οὐκ ἔστι. πρεσβύτης γέγονε, πάλιν ἐπιθυμεῖ τὰ ἐν νεότητι. ἡ νεότης μοι φίλον ἀεί. τὸ δὲ γῆρας βαρύτερον Αἴτνης. καὶ μακαρίζει τὸν τοῦ παιδὸς βίον. οἰκέτης ἐστὶν, ἐλεύθερος σπεύδει γενέσθαι, κἂν τούτου τύχω φησὶ πάντ' ἔχω. γέγονεν ἐλεύθερος, δοῦλον εὐθὺς ἐπιθυμεῖ κτήσασθαι. γέγονε τοῦτ' αὐτῷ, ἕτερον προσαποδεῖ κτήσασθαι. μία γάρ φησι χελιδὼν, ἔαρ οὐ ποιεῖ. εἶτα δύο, εἶτα κἀγρὸν, εἶτα Ἀθηναῖος γενέσθαι, εἶτα ἄρξαι, εἶτα βασιλεῦσαι, εἶτα ὥσπερ Ἀλέξανδρος ἀθάνατος γενέσθαι. εἰ δὲ καὶ τούτου τύχοι, οἶμαι ἵνα Ζεὺς γένηται ἐπιθυμήσει. πῶς οὖν ὁ τοιοῦτος οὐκ ἐνδεής. ἢ ποία χρημάτων ὕπαρξις, τοιούτων ἐπιθυμιῶν ἀπολύει. οἱ βασιλεῖς αὐτοὶ πολλῆς ὑπάρχοντες, καὶ προσόδους μεγάλας ἔχοντες οὐδὲν ἧττον σπανίζουσιν. ὥστε καὶ τυμβωρυχεῖν, καὶ ἱεροσυλεῖν, καὶ παρὰ τὸ προσῆκον φυγαδεύειν. ἅμα γὰρ τῇ ἀρχῇ πολλὰ τὰ ἀναγκαῖα ἀναπεπλάκασι, καὶ ὅτε τῆς ἀρχῆς ἀποστῆναι προαιροῦνται, ὅτε τὰ καθ' ἑαυτοὺς λιτώτερον ἐξάγουσιν. εἶτα ἀναγκάζονται πολλὰ ἂν κωλύωνται. εἰ δὲ πάντων τις τῶν τοιούτων ὑπεράνω γένοιτο, ἐν πολλῇ ἂν εἴη ἀδείᾳ καὶ ἀσπανιστείᾳ. οὐκ ἀηδῶς γὰρ Κράτης οὐκ οἶδα φησὶν πήρα δύναμιν ἡλίκην ἔχει

κλῶν ἔχει. θέρμων τε χοῖνιξ. καὶ τὸ μηδενὸς μέλειν ᾧ ὄντι μέγα καὶ ἀξιόλογον. καὶ μετὰ πήρας, καὶ θέρμων, καὶ λαχάνων, καὶ ὕδατος μηδενὸς φροντίζειν. ἀλλ' εἶναι ἀθώπευτον καὶ ἀκολάκευτον.

ΨΟΓΟΣ ΠΛΟΥΤΟΥ.

Ἀντιφάνους.

Οὐ πώποτ' ἐζήλωσα πλουτοῦντα σφόδρα
ἄνθρωπον ἀπολαύοντα μηδὲν ὧν ἔχει.
ὁ δὲ πλοῦτος ἡμᾶς καθάπερ ἰατρὸς κακὸς
τυφλοὺς βλέποντας παραλαβὼν, πάντας ποιεῖ.

Τοῦ αὐτοῦ.

ψυχὴν ἔχειν δεῖ πλουσίαν, τὰ δὲ χρήματα
ταῦτ' ἐστὶν, ὄψις παραπέτασμα τοῦ βίου.

Εὐριπίδου.

καὶ νῦν ἐφέλκετ' ὦ κακοὶ τίμας βροτοὶ
καὶ κτᾶσθε πλοῦτον πάντοθεν θηρώμενοι,
σύμμικτ' ἅμα δίκαια, καὶ ἄδικα ὁμοῦ,
ἔπειτ' ἀμᾶσθαι τῶν δὲ δύστηνον θέρος.

Τοῦ αὐτοῦ.

μή μοι ποτ' εἴη χρημάτων νικωμένῳ
κακῷ γενέσθαι, μὴ δ' ὁμιλοίην κακοῖς.

Τοῦ αὐτοῦ.

μή μοι γένοιτο πικρὸς εὐδαίμων βίος,

μὴ δ' ὄλβος ὅς τις τὴν ἐμὴν κνίζει φρένα.

Τοῦ αὐτοῦ.

σκαιὸν τὸ πλουτεῖν, κἄλλο μηδὲν εἰδέναι.

Τοῦ αὐτοῦ.

μὴ πλοῦτον εἴπῃς οὐχὶ θαυμάζω θεὸν,
ὃν χὠ κάκιστος ῥαδίως ἐκτήσατο.

Τοῦ αὐτοῦ.

τὸν ὄλβον οὐδὲν οὐδαμοῦ κρίνω βροτοῖς,
ὅν γ' ἐξαλείφει ῥᾷον ἢ γράφει θεός.
πλουτεῖς, ὁ πλοῦτος δ' ἀμαθία, δειλὸν θ' ἅμα.

Φιλήτου.

ἀεὶ τὸ πλουτεῖν συμφορὰς πολλὰς ἔχει,
φθόνον τε κἀπήρειαν καὶ μῖσος πολὺ,
πράγματά τε πολλὰ καὶ ὀχλήσεις μυρίας,
πράξεις τε πολλὰς συλλογάς τε τοῦ βίου.
εἶτα μετὰ ταῦτ' εὐθὺς εὑρέθη θανὼν
ἄλλοις καταλείψας εἰς τρυφὴν τὴν οὐσίαν.
ὅθεν πένεσθαι μᾶλλον ἡδέως ἔχω
ἔχειν τε μέτρια, κἀμμόριμον ζῆν βίον,
καὶ μήτ' ἔχειν με πλοῦτον, μήτε πράγματα.
πᾶς γὰρ πένης ὢν, μεγάλα κερδαίνει κακά.

Εὐριπίδου.

δεινόν γε τοῖς πλουτοῦσι, τοῦτο δ' ἔμφυτον
σκαιοῖσιν εἶναι, τί ποτε τοῦτο τ' αἴτιον.
ἆρ' ὄλβος αὐτοῖς ὅτι τυφλὸς συνηρεφεῖ
τυφλὰς ἔχουσι τὰς φρένας καὶ τῆς τύχης.

Τοῦ αὐ-

Τοῦ αὐτοῦ.

ἄδικον ὁ πλοῦτος, πολλὰ δ' οὐκ ὀρθῶς ποιεῖ.

Τοῦ αὐτοῦ.

σκαιόν τι χρῆμ' ὁ πλοῦτος, ἥ τ' ἀπειρία.

Τοῦ αὐτοῦ.

πολλῶν τὰ χρήματ' αἴτι' ἀνθρώποις κακῶν.

Τοῦ αὐτοῦ.

εἰσορῶ, τυφλόν θ' ὁ πλοῦτος, καὶ φιλόψυχον κακόν.

Μενάνδρου.

τυφλὸν ὁ πλοῦτος, καὶ τυφλοὺς ἐμβλέποντας
εἰς αὐτὸν δεικνύει.

Τοῦ αὐτοῦ.

ὑπερήφανόν που γίνεθ' ἡ λίαν τρυφή,
ὅτε πλοῦτος ἐξώκειλε τὸν κεκτημένον
εἰς ἕτερον ἦθος οὐκ ἐν ᾧ τὸ πρόσθεν ἦν.

Ναυμαχίου.

χρυσός τοι κόνις ἐστὶν καὶ ἄργυρος. οἱ δὲ καὶ αὐτοὶ
λᾶες ἐπὶ ῥηγμῖνι πολυψηφῖδι θαλάσσης.
πολλοὶ δ' ἐρρίφαται ποταμῶν παρὰ χείλεσιν αὔτως.
εἵματα δ' εἰναλίης ἐρυθαίνεται αἵματι κόχλου.

Σωκράτους.

Αἱ μὲν ποδήρεις ἐσθῆτες τὰ σώματα. αἱ δὲ ὑπέρμετροι πολυτέλειαι τὰς ψυχὰς ἐμποδίζουσιν.

Δημοκρίτου.

Διωκτικὴς ἐπὶ πᾶσιν ἀνθρώποις ἡ τοῦ πλούτου ἐπιθυ-

μία. μὴ κτηθεῖσα μὲν γὰρ τρύχει. κτηθεῖσα δὲ βασανίζει ταῖς φροντίσιν. ἀρκτηθεῖσα δὲ, ταῖς λύπαις.

Ἀγάπα τῶν ὑπαρχόντων ἀγαθῶν, μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν, ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν.

Πλάτωνος.

Ἀγαθὸν δὲ ὄντα διαφόρως, καὶ πλούσιον εἶναι διαφερόντως ἀδύνατον. εὐδαίμονας μὲν ἅμα καὶ ἀγαθοὺς ἀνάγκη γίνεσθαι. πλουσίους δ' αὖ σφόδρα καὶ ἀγαθοὺς, ἀδύνατον. οὕς γε δὴ πλουσίους οἱ πολλοὶ καταλέγουσιν ὁ λόγος ἡμῖν ὀρθὸς ὡς οὐκ εἰσὶν οἱ παμπλούσιοι ἀγαθοί. εἰ δὲ μὴ ἀγαθοὶ, οὐδ' εὐδαίμονες.

Ἡροδότου.

ἄμασις πολυκράτει ὧδε λέγει. ἡδὺ μὲν πυνθάνεσθαι ἄνδρα φίλον καὶ ξεῖνον εὖ πρήσσοντα. ἐμοὶ δὲ αἱ σαὶ μεγάλαι εὐτυχίαι οὐκ ἀρέσκουσιν, ἐπισταμένῳ τὸ θεῖον, ὡς ἔστι φθονερόν.

ΠΕΝΙΑΣ ΕΠΑΙΝΟΣ.

Μενάνδρου.

Ἅπανθ' ὁ λιμὸς ἡδέα πλὴν αὐτοῦ ποιεῖ.
πενία γάρ οὐκ ἔστιν ἡ τρόπων διδάσκαλος.

Διφίλου.

πένητος ἀνδρὸς οὐδὲν εὐτυχέστερον.
τὴν γὰρ ἐπὶ τὸ χεῖρον μεταβολὴν οὐ προσδοκᾷ.

Πολυί-

Πολυίδου.

πλουτεῖς, τὰ δ' ἄλλα μὴ δοκεῖς συνιέναι,
ἐν τῷ γὰρ ὄλβῳ φαυλότης ἔνεστί τις,
πενία δὲ σοφίαν ἔλαχε διὰ τὸ δυστυχές.

Ἀλέξιδος.

τῶν γὰρ ἀγαθῶν τὸν πλοῦτον ὕστατον τίθει,
ἀβεβαιότατον γάρ ἐστιν ὧν κεκτήμεθα,
τὰ δ' ἄλλ' ἐπιεικῶς τοῖς ἔχουσι παραμένει.

Φιλήμονος.

νὴ διὰ τὸν μέγιστον ὤμην σωσία
ἐγὼ πρότερον τοὺς πένητας ζῆν μόνον
ὀδυνωμένους, τῶν πλουσίων δὲ τὸν βίον
ἐλαφρόν τιν' εἶναι καὶ φέρειν εὐθυμίαν.
νῦν δὲ διαφέροντα τοῖς καθ' ἡμέραν
δαπανήμασι δὴ τὸν βίον ὁρῶ μόνον,
λύπας δ' ἔχοντας μείζονας τοὺς μείζονας.

Μενάνδρου.

ἀεὶ νομίζουθ' οἱ πένητες τῶν θεῶν
ἐπεὶ τά γ' ἀρκοῦνθ' ἱκανὰ τοῖς σώφροσι.

Ἀλκαίου.

ἀργαλέον πενία κακὸν ἄσχετον, ἃ μέγαν
δάμνησι λαὸν ἀμηχανία σὺν ἀδελφέα.

Διογένης ὀνειδίσαντός αὐτῷ τινὸς πενίαν μοχθη-
ρόν, ἔφη. διὰ μὲν πενίαν οὐδένα πώποτε στρεβλούμε-
νον εἶδον. διὰ δὲ κακίαν, πολλούς.

Πλουτάρ-

Πλουτάρχου.

Ἀρχύτας ἀναγνοὺς τὴν ὁβαριαθηνέσου ἐρημίαν ἔχον ἐπιλεύγκε τὸν στίχον,
χρειὼ πάντ᾽ ἐδίδαξε, τί δ᾽ οὐ χρειὼ κεν ἂν εὕροι.

Τοῦ αὐτοῦ περὶ πλούτου.

Οὐδὲ ποτὲ λιμὸς ἐγέννησε μοιχείαν, οὐδὲ ποτὲ ἀπορεία χρημάτων ἀσωτίαν. βραχεῖα τίς ἐστι σωφροσύνη τὸ πενητεύειν. ὀλίγη τὶς εὐνομία τὸ ἀπορεῖσθαι.

ΕΤΙ ΠΕΡΙ ΠΕΝΙΑΣ.

Μενάνδρου.

ΤΟ κουφότατόν σε τῶν κακῶν πάντων διακνεῖ πενία. τί γὰρ τοῦτ᾽ ἐστὶν, ἧς γένοιτ᾽ ἂν εἷς φίλος βοηθήσας ἰατρὸς ῥαδίως.

Τοῦ αὐτοῦ.

ἀδικείτω μοι πλούσιος, καὶ μὴ πένης,
ῥᾷον φέρειν γὰρ κρειττόνων τυραννίδα.

Αἰλιανοῦ ἐκ τῆς συμμίκτου ἱστορίας.

Πενέστατοι ἐγένοντο οἱ ἄριστοι τῶν ἑλλήνων, ἀριστείδης ὁ λυσιμάχου, καὶ φωκίων ὁ φώκου, καὶ ἐπαμινώνδας ὁ πολύμνιδος, καὶ πελοπίδας ὁ θηβαῖος, καὶ λάμαχος ὁ ἀθηναῖος, καὶ σωκράτης ὁ σωφρονίσκου, καὶ ἐφιάλτης ὁ σοφωνίδου.

Φαβωρίνου.

Πενίας ἄτοπον εἶδος. ἡ γὰρ διὰ τὴν γνώμην ἀνθρώ-

τοι πένονται, ἢ διὰ τὴν τύχην. ἀλλὰ τὴν μὲν τύχην ἔστι θεραπεῦσαι, καὶ δόσει, καὶ εὑρέσει, καὶ ἐργασίᾳ, καὶ αὐταρκείᾳ. τὴν δὲ γνώμην οὐκ ἔστιν. οὐ γὰρ ὁμοίων δέονται, ὅτες τε κἀκεῖνος. ἀλλ' ὁ μὲν περιέρχεται αἰτίζων ἀκόλους. ὁ δὲ οὐκ ἀκόλους, οὐδὲ ψωμόν.

Ἀρκεσίλαος τὴν πενίαν λυπρὰν μὲν ἔλεγεν εἶναι, ὥσπερ καὶ τὴν ἰθάκην. ἀγαθὴν δὲ κουροτρόφον, ἐθίζουσαν συνεῖναι λιτότητι, καὶ καρτερίᾳ, καὶ καθόλου γυμνάσιον ἀρετῇ ἔμπρακτον.

Διογένης τὴν πενίαν ἔλεγεν, αὐτοδίδακτον εἶναι ἀρετήν.

ΨΟΓΟΣ ΠΕΝΙΑΣ.

Μενάνδρου.

ΕΥκαταφρόνητόν ἐστι γοργία πένης
κἂν πάνυ λέγῃ δίκαια, τοῦτο γὰρ λέγειν
ἕνεκα μόνου νομίζεθ' οὗτος τοῦ λαβεῖν,
καὶ συκοφάντης εὐθὺς ὁ τὸ τριβώνιον ἔχων
καλεῖται, κἂν ἀδικούμενος τύχῃ.

Φιλήμονος.

ἡ γὰρ σπάνις πρόχειρος εἰς τὸ δρᾶν κακά.

Ἀριστοφῶντος.

αἰσχρὸν γενέσθαι πτωχὸν ἀσθενῆ θ' ἅμα,
τὸ τέλος πᾶσίν ἐστι τοῖς πτωχοῖσι νύξ,

ἐπισκοτεῖ γὰρ τοῖς κακοῖσι πανταχοῦ.

Τοῦ αὐτοῦ.

ἀεὶ τοῖς μικροῖς μικρὰ διδοῦσι θεοί.

Σοφοκλέους.

πενία δὲ τοῖς ἔχουσιν οὐ σμικρὰ νόσος,
πενίας οὐδεὶς οὐδὲ μείζων πολέμιος.

Μενάνδρου.

πρὸς ἅπαντα δειλὸν ὁ πένης ἐστὶ γὰρ,
καὶ πάντας αὐτοῦ καταφρονεῖν ὑπολαμβάνει.
ὁ γὰρ μετρίως πράττων περισκελέστερον
ἅπαντα τἀνιαρὰ λαμπρεία φέρει.

Κράτητος.

οὐκ ἔστι πενίας οὐδὲν ἀθλιώτερον
ἐν τῷ βίῳ σύμπτωμα, καὶ γὰρ ἂν φύσει
σπουδαῖος ᾖς, πένης δὲ, καταγέλως ἔσῃ.

Θεόγνιδος.

ἆ δειλὴ πενίη, τί ἐμοῖς ἐπικειμένη ὤμοις,
  σῶμα καταισχύνεις καὶ νόον ἡμέτερον.
αἰσχρὰ δέ μ᾽ οὐκ ἐθέλοντα βίῃ κακὰ πολλὰ διδάσκεις,
  ἐσθλὰ μετ᾽ ἀνθρώπων καὶ καλ᾽ ἐπιστάμενον.
πᾶς γὰρ ἀνὴρ πενίῃ δεδμημένος, οὔτε τι εἰπεῖν
  οὔθ᾽ ἔρξαι δύναται. γλῶσσα δέ οἱ δέδεται.

Τοῦ αὐτοῦ.

μή ποτέ μοι πενίην θυμοφθόρον ἀνδρὶ χαλεφθεὶς,
  μὴ δὲ ἀχρημοσύνην κύρνε κακὴν πρόφερε.

ζεὺς γὰρ

Ζεὺς γὰρ τὸ τάλαντον ἐπιρρέπει ἄλλοτε τ᾽ ἄλλως,
ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε μηδὲν ἔχειν.
Χρὴ δ᾽ ἀεὶ κατὰ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
δίζεσθαι χαλεπῆς Κύρνε λύσιν πενίης.

Ἡσιόδου.

μηδέποτ᾽ οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ,
τέτλαθ᾽ ὀνειδίζειν μακάρων δόσιν αἰὲν ἐόντων.

Μενάνδρου.

ὅς τις πένης ὢν, ζῆν ἐν ἄστει βούλεται,
ἀθυμότερον αὑτὸν ἐπιθυμεῖ ποιεῖν.
ὅταν γὰρ εἰς τρυφῶντα καὶ σχολὴν ἄγειν
δυνάμενον ἐμβλέψῃ, τότ᾽ αὐτὸν ἐς ἰδεῖν,
ὡς ἄθλιον ζῇ καὶ ταλαίπωρον βίον.
κακῶς ὁ δεσπότης βεβούλευται πάνυ.
ἐν ἀγρῷ γὰρ οἰκῶν, οὐ σφόδρ᾽ ἐξηλέγχετο,
τῆς μερίδος ὢν τῆς οὐδαμοῦ τεταγμένης.
εἶχε δὲ παραπέτασμα τὴν ῥαθυμίαν.

Ἀριστοφῶντος.

τὸ τέλος πᾶσιν οὐδὲ τοῖς πτωχοῖσι νὺξ
ἐπισκοτεῖ γὰρ τοῖς κακοῖσι πανταχοῦ.

ΠΕΡΙ ΠΟΛΙΤΕΙΑΣ.

Ἡνιόχου.

ΕΓΩ δ᾽ ὄνομα τὸ μὲν καθ᾽ ἑκάστην αὐτίκα λέξω,

συνάπτασαι δ' εἰσὶ παντοδαπαὶ πόλεις,
αἳ νῦν ἀνοηταίνουσι πολὺν ἤδη χρόνον.
τάχ' αὖ τις ἂν ὑποκρούσειεν ὅτι ποτ' ἐνθάδε
νῦν εἰσι. κἂν ἔροιτο παρ' ἐμοῦ πεύσεται.
τὸ χωρίον μὲν πᾶν τόδ' ἐστὶν ἐν κύκλῳ
ὀλυμπία. τὴν δ' εἶδε τὴν σκηνὴν ἐκεῖ.
σκηνὴν ὁρᾶν πυθικὴν νομίζεται;
εἶεν, τί οὖν ἐνταῦθα δρῶσιν αἱ πόλεις;
ἐλευθέρια ἀφίκοντο θύσουσαί ποτε,
ὅτε τῶν φόρων ἐγένοντ' ἐλεύθεραι σχεδόν.
κἄπειτ' ἀπ' ἐκείνης τῆς θυσίας διέφθορεν
αὐτὰς ξενίσασ' ἡμέραν ἐξ ἡμέρας,
ἀβουλία κατέχουσα πολὺν ἤδη χρόνον.
γυναῖκε δ' αὐτὴν δύ' ἐταράττετον τινὲ
ἀεὶ συνοῦσαι, δημοκρατία θατέρα
ὄνομ' ἐστὶ, τῇ δ' ἀριστοκρατία θατέρα,
δι' ἃς πεπαρῳνήκασιν ἤδη πολλάκις.

Σοφοκλέους.

πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει,
καίτοι σμικροὶ μεγάλων χωρὶς σφαλερὸν
πύργου ῥῦμα πέλονται. μετὰ γὰρ μεγάλων
βαιὸς ἄριστ', καὶ μέγας ὀρθοῖθ' ὑπὸ σμικροτέρων,
ἀλλ' οὐ δυνατὸν τοὺς ἀνοήτους τούτων γνώμας προδιδάσκειν.

Δημοκρίτου.

Στάσις ἐμφύλιος ἐς ἑκάτερα κακόν. καὶ γὰρ νική-

οὖσι καὶ κατωμένοις ὁμοιωθῇ φθορή.

Αἰσχίνου.

Πονηρὰ φύσις μεγάλης ἐξουσίας λαβομένη, μεγάλας ἀπεργάζεται συμφοράς.

Ὅρκος τῶν ἀθήνησιν ἐφήβων.

οὐ καταισχυνῶ ὅπλα τὰ ἱερά, οὐδ' ἐγκαταλείψω τὸν παραστάτην ὅτῳ ἂν στοιχήσω. ἀμυνῶ δὲ καὶ ὑπὲρ ἱερῶν, καὶ ὑπὲρ ὁσίων, καὶ μόνος καὶ μετὰ πολλῶν. τὴν πατρίδα δὲ οὐκ ἐλάσσω παραδώσω. πλείω δὲ καὶ ἀρείω, ὅσην ἂν παραδέξωμαι. καὶ ἐυνηκοήσω τῶν ἀεὶ κρινόντων ἐμφρόνως, καὶ τοῖς θεσμοῖς τοῖς ἱδρυμένοις πείσομαι, καὶ οὕς τινας ἂν ἄλλους τὸ πλῆθος ἱδρύσηται ὁμοφρόνως, καὶ ἄν τις ἀναιρῇ τοὺς θεσμοὺς, ἢ μὴ πείθηται, οὐκ ἐπιτρέψω. ἀμυνῶ δὲ καὶ μόνος, καὶ παρὰ πάντων, καὶ ἱερὰ τὰ πάτρια τιμήσω. ἵστορες θεοὶ τούτων.

Σόλων εἶπεν, ἐκείνην ἄριστα διοικεῖσθαι τὴν πόλιν, ἐν ᾗ τοὺς ἀγαθοὺς ἄνδρας συμμαίνει τιμᾶσθαι, καὶ τὸ ἐναντίον ἐν ᾗ τοὺς κακοὺς ἀμύνεσθαι.

Ὁ αὐτὸς ἐρωτηθεὶς πῶς ἂν μὴ γίγνοιτο ἀδίκημα ἐν τῇ πόλει, εἶπεν· εἰ ὁμοίως ἀγανακτοῖεν οἱ μὴ ἀδικούμενοι τοῖς ἀδικουμένοις.

Θουκυδίδου ἱστορίας α.

Ὑπὸ γοῦν τοῦ μήδου δεινότερα τούτων πάσχοντες ἠνείχοντο. ἡ δὲ ἡμετέρα ἀρχὴ χαλεπὴ εἶναι δοκεῖ εἰ-

κότως, τὸ παρὸν γὰρ ἀεὶ βαρὺ τοῖς ὑπηκόοις.

Αἰσχίνου κατὰ Τιμάρχου.

Αἱ γὰρ ἴδιαι ἔχθραι, πολλὰ πάνυ τῶν κοινῶν ἐπανορθοῦσιν.

Περίανδρος ἐρωτηθεὶς διὰ τί οὐκ ἀποτίθεται τὴν ἀρχὴν, εἶπεν, ὅτι τῷ κατ' ἀνάγκην ἄρχοντι, καὶ τὸ ἑκουσίως ἀποστῆναι κίνδυνον φέρει.

Πυθαγόρας εἶπεν. εἰσιέναι εἰς τὰς πόλεις πρῶτον τρυφήν. ἔπειτα κόρον, εἶτα ὕβριν, παρὰ δὲ ταῦτα ὄλεθρον.

Ὁ αὐτὸς τῶν πόλεων ἐκείνην εἶπεν ἀρίστην, τὴν ἄνδρας ἀγαθοὺς ἔχουσαν.

Ὁ αὐτὸς τούτους ἔφη καθιστάναι ἄρχοντας, οἵ τινες ἐκ παίδων καλῶς ἤχθησαν καὶ εἰς ἡλικίαν ἐλθόντες, μὴ γεγόνασι προδόται τῆς αὐτῶν ἡλικίας λημμάτων χάριν.

Ἀρκεσίλαος ἔλεγεν ὥσπερ ὅπου φάρμακα πολλὰ καὶ ἰατροὶ πολλοὶ, ἐνταῦθα νόσοι πλεῖσται, οὕτω δὲ καὶ ὅπου νόμοι πλεῖστοι, ἐκεῖ καὶ ἀδικίαν εἶναι μεγίστην.

Σοφοκλέους.

οὐ γάρ ποτ' ἂν γένοιντ' ἂν ἀσφαλεῖς πόλεις
ἐν αἷς τὰ μὲν δίκαια καὶ τὰ σώφρονα
λακτίζεται, κωτίλος δ' ἀνὴρ λαβὼν
πανοῦργα χερσὶν κέντρα κηδεύει πόλιν.

Τοῦ αὐτοῦ.

ὅπου δὲ μὴ τὰ σᾶς ἐλευθέρως λέγειν

ἔξεστι. νικᾷ δ' ἐν πόλει τὰ χείρονα,
ἁμαρτίαι σφάλλουσι τὴν σωτηρίαν.

Βίωνος.

μὴ δὲ λίπῃς μ' ἀγόραστον ἐπεὶ χ' ὡ φοῖβος ἀείδειν
μισθὸν ἔδωκε. τιμὰ δὲ τὰ πράγματα κρέσσονα ποιεῖ.

Εὐπόλιδος.

καὶ μὴν ἐγὼ πολλῶν παρόντων οὐκ ἔχω τί λέξω,
οὕτω σφόδρ' ἀλγῶ τὴν πολιτείαν ὁρῶν παρ' ἡμῖν.
ἡμεῖς γὰρ οὐχ οὕτω τέως ᾠκοῦμεν ὦ γέροντες.
ἀλλ' ἦσαν ἡμῖν τῇ πόλει, πρῶτον μὲν οἱ στρατηγοὶ
ἐκ τῶν μεγίστων οἰκιῶν πλούτῳ γένει τε πρῶτοι
οἷς ὡσπερεὶ θεοῖσιν εὐχόμεσθα. καὶ γὰρ ἦσαν.
ὥστ' ἀσφαλῶς ἐπράττομεν. νῦν δ' ὅπῃ
τύχοιμεν στρατευόμενοι, αἱρούμεθα καθάρματα
στρατηγούς.

Εὐριπίδου.

τρεῖς γὰρ πολιτῶν μερίδες. οἱ μὲν ὄλβιοι
ἀνωφελεῖς τε, πλειόνων τ' ἔρως ἀεί.
οἱ δ' οὐκ ἔχοντες καὶ σπανίζοντες βίου
δεινοὶ νέμοντες τῷ φθόνῳ πλεῖον μέρος
εἰς τοὺς ἔχοντας κέντρ' ἀφιᾶσι κακά,
γλώσσαις πονηρῶν προστατῶν φηλούμενοι.
τριῶν δὲ μοιρῶν ἡ μέση σώζει πόλιν.
κόσμον φυλάσσουσ' ὅν τιν' ἂν δόξῃ πόλει.

Σοφοκλέους.

ὅπου γὰρ οἱ φυλάσσοντες ἡσσῶνται τέκνων

οὐκ ἔστιν

οὐκ ἔστιν αὕτη σωφρόνων ἀνδρῶν πόλις.

Μενάνδρου.

τρία γάρ ἐστι δέσποτα δι' ὧν ἅπαντα γίνεται.
ἢ κατὰ νόμους, ἢ ταῖς ἀνάγκαις, ἢ τρίτῳ ἔθει τινί.

Τοῦ αὐτοῦ.

εἰ τὸν τὴν ἀδικοῦντα μὲν ὡς ἠμύνετο
ἕκαστος ἡμῶν καὶ συνηγωνίσατο,
ἴσως νομίζων ἴδιον εἶναι τὸ γεγονὸς,
ἀδίκημα, καὶ συνέπραττον ἀλλήλοις,
πονηρῶν οὐκ ἂν ἐπὶ πλεῖον τὸ κακὸν ἡμῖν
τὸ τῶν πονηρῶν, ἀλλὰ παρατηρούμενοι,
καὶ τυγχάνοντες ἧς ἔδει τιμωρίας,
ἤτοι σπάνιοι σφόδρα μὲν ἦσαν, ἢ πεπαυμένοι.

Τοῦ αὐτοῦ.

κοινὸν ἀγαθόν ἐστι πόλει χρηστὸς εὐτυχῶν.

Σοφοκλέους.

ἀναρχίας δὲ μεῖζον οὐκ ἔστι κακόν.

ΕΤΙ ΠΕΡΙ ΠΑΤΡΙΔΟΣ.

Ὁμήρου.

Ὣς οὐδὲν γλύκιον ἧς πατρίδος ἠδὲ τοκήων.

Εὐριπίδου.

μήτηρ φρονούντων ἐν, κοὔφρονῶν ἀφίκομαι
ἐχθροὺς δὲ ἄνδρας, ἀλλ' ἀναγκαίως ἔχει
πατρίδος

πατρίδος ὁρῶν πάντας. ὃς δ' ἄλλως λέγει
λόγοισι χαίρει. τὴν δὲ νοῦν ἐκεῖσ' ἔχει.

Τοῦ αὐτοῦ.

ἡ πατρὶς ὡς ἔοικε φίλτατον βροτοῖς,
οὐδ' ὀνομάσαι δύναιμ' ἂν ὡς ἐστὶ φίλον.

Τοῦ αὐτοῦ.

τί γὰρ πατρῴας ἀνδρὶ φίλτερον χθονός.

Τοῦ αὐτοῦ.

ὡς οὖν γέ μοι κρίνοιτ' ἂν μὴ καλῶς φρονεῖν,
ὅς τις πατρῴας γῆς ἀτιμάζων ὅρους
ἄλλην ἐπαινεῖ καὶ τρόποισιν ἥδεται.

Τοῦ αὐτοῦ.

Σπάρτην ἔλαχες, κείνην κόσμει,
τὰς δὲ μυκήνας ἡμεῖς ἰδία.

Τοῦ αὐτοῦ.

σὺ δ' ὦ πατρῴα χθὼν ἐμὴ γεννητόρων
χαῖρε. ἀνδρὶ γάρ τοι κἂν ὑπερβάλλῃ
κακοῖς, οὐκ ἔστι τοῦ θρέψαντος ἥδιον πέδον.

Μενάνδρου.

οἴκοι μένειν χρή, καὶ μένειν ἐλεύθερον,
ἢ μηκέτ' εἶναι τὸν καλῶς εὐδαίμονα.

Σοφοκλέους.

πολλοί σε ζηλῶ βίου, κάλλιστα δ' εἰ γῆς
μὴ πεπείρασαι ξένης.

Εὐριπίδου.

μακάριος ὅς τις εὐτυχῶν οἴκοι μένει.

Τοῦ αὐτοῦ.

οὔτ' ἂν φίλον ποτ' ἄνδρα δυσμενῆ χθονὸς
θείμην ἐμαυτῷ, τοῦτο γινώσκων ὅτι
ἥδ' ἐστὶν ἡ σώζουσα, καὶ ταύτης ἔπι
πλέοντες ὀρθῆς τοὺς λόγους ποιούμεθα,
τοιοῖσδ' ἐγὼ νόμοισι τήνδ' αὔξω πόλιν.

Εὐριπίδου.

τί τὸ στέρεσθαι πατρίδος, ἦ κακὸν μέγα;
μέγιστον. ἔργῳ δ' ἐστὶ μεῖζον ἢ λόγῳ,
τίς ὁ τρόπος αὐτοῦ. τί φυγάσι τὸ δυσχερές.
ἓν μὲν μέγιστον, οὐκ ἔχει παρρησίαν.

Ὁμήρου.

τεθνάτω οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης.

Τοῦ αὐτοῦ.

αὐτὰρ ὅ γ' ἱμείρων
ἧς γαίης καὶ καπνὸν ἀποθρώσκοντα νοῆσαι.

Πυθαγόρας ἐρωτηθεὶς πῶς δεῖ ἀγνωμονούσῃ πατρίδι προσφέρεσθαι, εἶπεν ὡς μητρί.

Ἀριστείδης ἐρωτηθεὶς τί μάλιστα αὐτὸν ἐν τῇ φυγῇ ἐλύπει, τὸ τῆς πατρίδος ὄνειδος ἔφη κακῶς ἀκουούσης ἐν τῇ αὐτοῦ φυγῇ.

Σερίφιος ὀνειδιζόμενος ὑπὸ Ἀθηναίου τῇ μικροπολιτείᾳ, ἐμοὶ ἔφη ἡ πατρὶς ὄνειδος, σὺ δὲ τῇ πατρίδι.

Εὐριπίδου.

εἰκὸς δὲ παντὶ καὶ λόγῳ καὶ μηχανῇ

πατρίδος ὄντας, ἐκπονεῖν σωτηρίαν,
μὴ κάμνε πατρίδα σὴν λαβεῖν πειρώμενος.
Τοῦ αὐτοῦ.
εἰ δ' ἦσθα μὴ κάκιστος οὔποτ' ἂν πόλιν
τὴν σὴν ἀτίζων, τήνδ' ἂν εὐλόγεις πάτραν.
Σοφοκλέους.
πολλά σε ζηλῶ βίου
κάλλιστα δ' εἰ γῆς μὴ πεπείρασαι ξένης.
Η γυνὴ τοῦ ἀριστείδου πρὸς τὸ πολιτικὰ διατρίβοντι, εἶ-
θε ἔφη τὰ μὲν ἴδια κοινὰ νόμισας, τὰ δὲ κοινὰ ἴδια.

ΠΕΡΙ ΠΟΛΕΜΟΥ.

Τυρταίου.
ΑΛΛ' ἡρακλῆος γὰρ ἀνικήτου γένος ἐστὲ,
θαρσεῖτ' οὔπω ζεὺς αὐχένα λοξὸν ἔχει.
μὴ δ' ἀνδρῶν πληθὺν δειμαίνετε μὴ δὲ φοβεῖσθε
ἰθὺς δ' εἰς προμάχους ἀνὴρ ἀσπίδ' ἐχέτω.
ἐχθρὰν μὲν ψυχὴν θέμενος. θανάτου δὲ μελαίνας
κῆρας αὐγαῖς ἠελίοιο φίλας.
ἴστε γὰρ ὡς ἄρηος πολυδακρύου ἔργ' ἀΐδηλα
εὖ δ' ὀργὴν ἐδάητ' ἀργαλέου πολέμου.
καὶ παραφευγόντων διωκόντων τε ἐγένεσθε
ὦ νέοι. ἀμφοτέρων δ' εἰς κόρον ἠλάσατε.
οἱ μὲν γὰρ τολμῶσι παρ' ἀλλήλοισι μένοντες

ἔς τ' αὐτοσχεδίην καὶ προμάχους ἰέναι.
παυρότεροι θνήσκουσι, σαοῦσι δὲ λαὸν ὀπίσσω,
τρεσσάντων δ' ἀνδρῶν πᾶσ' ἀπόλωλ' ἀρετή.
οὐδεὶς ἄν ποτε ταῦτα λέγων ἀνύσειεν ἕκαστα
ὅσ' ἂν αἰσχρὰ πάθη γίνεται ἀνδρὶ κακά.
ἀργαλέον γὰρ ὄπισθε μετάφρενόν ἐστι δαΐζειν,
ἀνδρὸς φεύγοντος δηΐῳ ἐν πολέμῳ.
αἰσχρὸς δ' ἐστὶ νέκυς κατακείμενος ἐν κονίῃσι
νῶτον ὄπισθ' αἰχμῇ δουρὸς ἐληλαμένος.
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς χεῖλος ὀδοῦσι δακών.
μηρούς τε κνήμας τε κάτω, καὶ στέρνα καὶ ὤμους,
ἀσπίδος εὐρείης δουρὶ καλυψάμενος.
δεξιτερῇ δ' ἐν χειρὶ τινασσέτω ὄμβριμον ἔγχος
κινείτω δὲ λόφον δεινὸν ὑπὲρ κεφαλῆς.
ἔρδων δ' ὄμβριμα ἔργα διδασκέσθω πολεμίζων,
μὴ δ' ἐκτὸς βελέων ἑστάτω ἀσπίδ' ἔχων.
ἀλλά τις ἐγγὺς ἰὼν αὐτοσχεδὸν ἔγχεϊ μακρῷ
ἢ ξίφει οὐτάζων δήϊον ἄνδρ' ἑλέτω.
καὶ πόδα πὰρ ποδὶ θεὶς, καὶ ἐπ' ἀσπίδος ἀσπίδ' ἐρείσας,
ἐν δὲ λόφον λόφῳ, καὶ κυνέην κυνέῃ.
καὶ στέρνον στέρνῳ πεπλημένος ἀνδρὶ μαχέσθω,
ἢ ξίφεος κώπην, ἢ δόρυ μακρὸν ἑλών.
ὑμεῖς δ' ὦ γυμνῆτες ὑπ' ἀσπίδος ἄλλοθεν ἄλλος
πτώσσοντες μεγάλοις βάλλετε χερμαδίοις.

δούρα-

δούρασί τε ξεστοῖσιν ἀκοντίζοντες ἐς αὐτοὺς
τοῖσι πανοπλίοισι πλησίον ἱστάμενοι.

Ἀράτου.

χαλκείη γενεὴ προτέρων ὀλοώτεροι ἄνδρες
οἳ πρῶτοι κακοεργὸν ἐχαλκεύσαντο μάχαιραν
εἰνοδίην. πρῶτοι δὲ βοῶν ἐπάσαντ' ἀροτήρων.

Πινδάρου.

γλυκὺ δὲ πόλεμος ἀπείροισιν, ἐμπείρων δέ τις
ταρβεῖ προσιόντα νιν καρδία περισσῶς.

Ὁμήρου.

ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος
ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.

Εὐριπίδου.

φιλεῖ τοι πόλεμος οὐ πάντ' εὐτυχεῖν,
ἐσθλῶν δὲ χαίρει πτώμασι νεανίων,
κακοὺς δὲ μισεῖ. τῇ πόλει μὲν οὖν νόσος
τόδ' ἐστὶ, τοῖς δὲ κατθανοῦσιν εὐκλεές.

Δημοσθένους.

Πόλεμος ἔνδοξος, εἰρήνης αἰσχρᾶς αἱρετώτερος.

Ἀρχίδαμος ὁ ἀγησιλάου ἰδὼν βέλος τότε πρῶτον ἐκ σικελίας κομισθὲν, ἀνεβόησεν, ὦ ἡράκλεις, ἀπόλωλεν ἀνδρὸς ἀρετά.

ΠΕΡΙ ΣΩΦΡΟΣΥΝΗΣ.

Μενάνδρου.

Ταμεῖον ἐστὶν ἀρετῆς ἡ σωφροσύνη.

Σοφοκλέους.

ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν
ἅπαντα τἀνθρώπεια. τοὺς δὲ σώφρονας
θεοὶ φιλοῦσι, καὶ στυγοῦσι τοὺς κακούς.

Τοῦ αὐτοῦ.

χαίρειν ἐπ' αἰσχραῖς ἡδοναῖς οὐ χρὴ ποτέ.

Τοῦ αὐτοῦ.

ὦ μάκαρ οἵας ἔλαχες τιμᾶς
ἱππόλυθ' ἥρως διὰ σωφροσύνην.
οὔποτε θνητοῖς ἀρετῆς ἄλλη δύναμις μείζων.
ἦλθε γὰρ ἢ πρόσθ' ἢ μετόπισθεν
τῆς εὐσεβείας χάρις ἐσθλή.
ἀνθρώποισι πᾶσι μέτεστι γινώσκειν
ἑαυτοὺς καὶ σωφρονεῖν.

Δημοσθένους.

οὐδὲν ἐστι τῆς ἀκρασίας ἐπωδυνώτερον.

Τοῦ αὐτοῦ.

δίκαιος ἔρως, ἀνυβρίστως ἐφίεσθαι τῶν καλῶν.

Σωκράτους.

Δεῖ ὥσπερ σειρῆνας τὰς ἡδονὰς παρελθεῖν τὸν σπεύδοντα τὴν ἀρετὴν ἰδεῖν ὥσπερ πατρίδα.

Ἐκ τῶν

Ἐκ τῶν στοβίου.

Εὐριπίδης ἐυδοκίμησεν εἰπὼν, τί δ' αἰσχρὸν ἂν μὴ τοῖσι χρωμένοις δοκῇ. Διογένης ἐκ τοῦ ἐναντίου. αἰσχρὸν τὸ αἰσχρὸν κἂν δοκῇ κἂν μὴ δοκῇ.

Ἀριστοτέλους.

ἀνδρειότερος εἶναι μοι δοκεῖ ὁ τῶν ἐπιθυμιῶν, ἢ τῶν πολεμίων κρατῶν. καὶ γὰρ χαλεπώτατόν ἐστι τὸ ἑαυτὸν νικῆσαι.

Ἀνδρεῖος οὐχ ὁ τῶν πολεμίων κρατῶν μόνον, ἀλλὰ καὶ ὁ τῶν ἡδονῶν κρείσσων.

ΠΕΡΙ ΣΤΡΑΤΕΙΑΣ.

Μενάνδρου.

Στρατεία δ' οὐ φέρει περιουσίαν οὐδὲ μίαν,
ἐφήμερον δὲ καὶ προπετῆ βίον.
οὐ πεῖραν ἔχομεν ὄντος οὐ σωτηρίου.

Τοῦ αὐτοῦ.

ἐνλοιδόρητον ὡς ἔοικε φαίνεται
τὸ τοῦ στρατιώτου σχῆμα καὶ τὸ τοῦ ξένου.

Τοῦ αὐτοῦ.

κομψὸς στρατιώτης οὐδ' ἂν εἰ πλάττοι θεὸς
οὐδεὶς γένοιτ' ἄν.

Φιλήμονος.

ταχύ γε στρατιώτης γέγονας ἀντ' ἐλευθέρου.

ΠΕΡΙ ΣΤΡΑΤΗΓΩΝ,
καὶ περὶ τῶν κατὰ πόλεμον
χρειῶν ὑποθῆκαι.

Γνῶμαι γὰρ ἔργων τῶν ἐν ἀνθρώποις σοφοὶ
καλαὶ τάδ᾽ ἐξέπραξαν οὐ χειρῶν σθένος.

Σοφοκλέους.

γνῶμαι πλέον κρατοῦσιν ἢ σθένος χερῶν.

Ἀγάθωνος.

γνώμη δὲ κρείσσων ἐστὶν, ἢ ῥώμη χερῶν.

Εὐριπίδου.

γνώμη γὰρ ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις
εὖ δ᾽ οἶκος, εἴς τ᾽ αὖ πόλεμον ἰσχύει μέγα.
σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας
νικᾷ, σὺν ὄχλῳ δ᾽ ἀμαθία πλέον κακόν.

Τοῦ αὐτοῦ.

βραχύ τοι σθένος ἀνδρὸς, ἀλλὰ ποικιλίαι
πραπίδων.

Τοῦ αὐτοῦ.

ἀεὶ γὰρ ἄνδρα σκαιὸν ἰσχυρὸν φύσει
ἧσσον δέδοικα, τἀσθενοῦς τε καὶ σοφοῦ.

Τοῦ αὐτοῦ.

στρατηλάται τ᾽ ἂν μυρίοι γενοίμεθα
σοφὸς δ᾽ ἂν εἷς τις ἢ δύ᾽ ἐν μακρῷ χρόνῳ.

Τοῦ αὐτοῦ.

εἴθ᾽ ἦσθ᾽ ἀνὴρ εὔβουλος ὡς δρᾶσαι χερὶ

ἀλλ᾽ οὐ

ἀλλ' οὐ γὰρ αὐτὸς πάντ' ἐπίσασθαι ἀνὴρ
πέφυκε, ἄλλῳ δ' ἄλλο προσκεῖται γέρας.
σὲ μὲν μάχεσθαι, σοῦ δὲ βουλεύειν καλῶς.

Τοῦ αὐτοῦ.

ἔχει δὲ καὶ τοῦτ' οὐχὶ μικρὸν εὐγενὴς
ἀνὴρ στρατηγῶν εὐκλεᾶ τ' ἔχων φάτιν.

Τοῦ αὐτοῦ.

τὸ δὲ στρατηγεῖν τοῦτ' ἐγὼ κρίνω καλῶς
γνῶναι τὸν ἐχθρὸν ᾗ μάλιστ' ἁλώσιμος.

Τοῦ αὐτοῦ.

ῥώμη δέ τ' ἀμαθὴς πολλάκις τίκτει βλάβην.

Μενάνδρου.

ὅς τις στρατηγεῖ μὴ στρατιώτης γενόμενος
οὗτος ἑκατόμβην ἐξάγει τοῖς πολεμίοις.

Θουκυδίδου ἱστορίας α

Ἐκ πολέμου μὲν γὰρ εἰρήνη μᾶλλον βεβαιοῦται, ἀφ' ἡσυχίας δὲ μὴ πολεμῆσαι, οὐχ ὁμοίως ἀκίνδυνον.

ΠΕΡΙ ΤΥΡΑΝΝΙΔΟΣ.

Εὐριπίδου.

ΟΥδὲν τυράννου ἐστὶ δυσμενέστερον
ὅπου τὸ μὲν πρώτιστον οὐκ εἰσὶ νόμοι,
κοινοί. κρατεῖ δ' εἷς τὸν νόμον κεκτημένος.

Τοῦ αὐτοῦ.

τυραννίδος δὲ τῆς πάλαι θρυλλουμένης
τὸ μὲν πρόσωπον ἡδύ, τἀν δόμοισι δὲ
λυπηρά. τίς γὰρ μακάριος, τίς εὐτυχὴς
ὅστις δεδοικὼς καὶ παραβλέπων βίον
αἰῶνα τείνει δημότης αἴσου τύχης.

Τοῦ αὐτοῦ.

κακῶς δ' ὄλοιντο πάντες οἱ τυραννίδι
χαίρουσιν, ὀλίγῃ τ' ἐν πόλει μοναρχίᾳ.
τοὐλεύθερον γὰρ ὄνομα παντὸς ἄξιον
κἂν μίκρ' ἔχῃ τις, μεγάλ' ἔχειν νομίζεται.

Τοῦ αὐτοῦ.

οὔτ' εἰκὸς ἄρχειν, οὔτ' ἐχρῆν εἶναι νόμον,
τύραννον εἶναι, μωρία δὲ καὶ θέλειν
ὃς τῶν ὁμοίων βούλεται κρατεῖν μόνος.

Τοῦ αὐτοῦ.

φεῦ τὰ μεγάλα, μεγάλα καὶ πάσχει κακά.

Τοῦ αὐτοῦ.

τὸ δ' ἔσχατον δὴ τοῦτο θαυμαστὸν βροτοῖς,
τυραννίς, οὐχ εὕροις ἂν ἀθλιώτερον.
φίλους τε τρεθεῖν, καὶ κατακτανεῖν χρεὼν,
πλεῖστος φόβος πρόσεστι μὴ δράσωσί τι.

Τοῦ αὐτοῦ.

ὦ πλοῦτε καὶ τυραννὶς, καὶ τέχνη τέχνης,
ὑπερφέρουσα τῷ πολυζήλῳ βίῳ,

ὅσος

ὅσος παρ' ὑμῖν ὁ φθόνος φυλάσσεται.

Σοφοκλέους.

τὸν τοι τύραννον εὐσεβεῖν οὐ ῥᾴδιον.

Δημοσθένους.

καὶ ὅλως, ἄπιστον οἶμαι ταῖς πολιτείαις ἡ τυραννίς.

Φαλάριδος.

Συγγνώμην ἔχω σοι τῶν παραινέσεων. τύραννος γὰρ οὐ γεγονώς, τυράννῳ συμβουλεύεις καταθέσθαι τὴν τυραννίδα, οὐκ εἰδὼς ὅτι τὸ κτήσασθαι τὴν ἀρχὴν ἀσφαλέστερόν ἐστι τοῦ καταθέσθαι.

Ἀντίγονος πρός τινα μακαρίζουσαν αὐτὸν γραῦν, εἰ ᾔδεις ἔφη ὦ μῆτερ ὅσων κακῶν μεστόν ἐστι τουτὶ τὸ ῥάκος, δείξας τὸ διάδημα, οὐκ ἂν ἐπὶ κοπρίας κείμενον αὐτὸ ἐβάστασας.

Μενάνδρου ἀσπίδος.

ὦ τρισάθλιοι τί πλέον ἔχουσι τῶν ἄλλων, βίον
ὡς οἰκτρὸν ἐξαντλοῦσιν οἱ τὰ φρούρια
τηροῦντες, οἱ τὰς ἀκροπόλεις κεκτημένοι,
εἰ πάντας ὑπονοοῦσιν οὕτω ῥᾳδίως
ἐγχειρίδιον ἔχοντας αὑτοῖς προσιέναι,
οἵαν δίκην διδόασιν.

Φαβωρίνου.

Ὥσπερ γὰρ τὰ θηρία τὴν σαγήνην ὑποχωροῦντα, εἰς ἐλάσσω τόπον συνάγεται, οὕτω δὴ καὶ τοὺς τυράννους ἔστιν ἰδεῖν ἐπαναχωροῦντας, ἐκ μὲν τῆς Ἑλλάδος εἰς τὸ

λιν. ἐκ δὲ τῆς πόλεως εἰς τὴν ἀκρόπολιν. εἶτ' εἰς τὴν οἰκίαν. ἔπειτ' εἰς τὸ δωμάτιον. εἶτα δύναται καταφυγεῖν ἄνθρωπος θεὸν φεύγων; ὅπου γὰρ ἂν καταφύγῃ ἡ δίκη αὐτὸν εὑρίσκει.

Τοῦ Διονυσίου λέγοντος πρὸς Ἀρίστιππον οὐδὲν ὠφέλημαι ὑπὸ σοῦ. ἀληθῆ λέγεις εἶπεν. εἰ γὰρ ὠφέλησο ἀπέπαυσο ἂν τῆς τυραννίδος, ὥσπερ ἱερᾶς νόσου.

Ἐκ τῶν Διογένους διατριβῶν.

Δοκεῖ δὲ τοῖς μὲν ἐν πλείοσι τῶν ἀνθρώπων, ὁ μὲν βίος ἀμείνων, ὁ δὲ θάνατος διὰ τοῦτο λυπηρότερος. οἱ δ' ἂν κακῶς ζῶντες, τὸν μὲν βίον δυσχερέστερον φέρουσι. τὸν δὲ θάνατον ἥδιον προσδέχονται. τοῖς δὲ τυράννοις ἀμφότερα ταῦτα χαλεπώτερα, ἢ τοῖς ἄλλοις. ζῶσι μὲν γὰρ πολὺ ἀηδέστερον τῶν πάνυ ἐπιθυμούντων τεθνάναι. τὸν δὲ θάνατον οὕτω δεδίασιν ὡς ἥδιστα διάγοντες ἐν τῷ βίῳ.

ΠΕΡΙ ΤΟΛΜΗΣ.

Οὔτ' ἂν μνησαίμην, οὔτ' ἂν λόγῳ ἄνδρα τιθείην,
οὔτε ποδῶν ἀρετῆς οὔτε παλαισμοσύνης.
οὐδ' εἰ κυκλώπων μὲν ἔχει μέγεθός τε βίην τε,
νικώη δὲ θέων θρηΐκιον βορέην.
οὐδ' εἰ τιθωνοῖο φυὴν χαριέστερος εἴη
πλουτίη δὲ μίδεω καὶ κινυρέοιο μᾶλλον.

οὐδ' εἰ

οὐδ' εἰ ταντταλίδεω πέλοπος βασιλεύτερος εἴη,
 γλῶσσαν δ' ἀδρήστου μειλιχόγηρυν ἔχοι.
οὐδ' εἰ πᾶσαν ἔχοι δόξαν πλὴν θούριδος ἀλκῆς,
 οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίνεται ἐν πολέμῳ.
εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα,
 καὶ δηΐων ὀρέγοιτ' ἐγγύθεν ἱστάμενος.
ἥδ' ἀρετὴ τόδ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον,
 κάλλιστόν τε φέρειν γίνεται ἀνδρὶ νέῳ.

Εὐριπίδου.

τολμᾶν δὲ χρεών. ὁ γὰρ ἐν καιρῷ μόχθος
πολλὴν εὐδαιμονίαν τίκτει θνητοῖσι τελευτῶν.

Τοῦ αὐτοῦ.

νεανίαν γὰρ ἄνδρα χρὴ τολμᾶν ἀεὶ
οὐδεὶς γὰρ ὢν ῥάθυμος εὐκλεὴς ἀνὴρ
ἀλλ' οἱ πόνοι τίκτουσι τὴν εὐδοξίαν.

Ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληΐ τε παντί τε δήμῳ,
 ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ
νωλεμέως. αἰσχρᾶς δὲ φυγῆς ἐπὶ πάγχυ λάθηται,
 ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος.
θαρσύνῃ πείθειν τὸν πλησίον ἄνδρα παρεστὼς
 οὗτος ἀνὴρ ἀγαθὸς γίνεται ἐν πολέμῳ.
αἶψα δὲ δυσμενέων ἀνδρῶν ἔτρεψε φάλαγγας
 τρηχείας. σπουδῇς τ' ἔσχεθε κῦμα μάχης.
αὐτὸς δ' ἐν προμάχοισι πεσὼν φίλον ὤλεσε θυμόν,

ἄστυ τε καὶ λαοὺς καὶ πατέρ' εὐκλεΐσας.
πολλὰ διὰ στέρνοιο καὶ ἀσπίδος ὀμφαλοέσσης
καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος.
τὸν δ' ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες
ἀργαλέῳ δὲ πόθῳ πᾶσα κέκηδε πόλις.
καὶ τύμβος καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι,
καὶ παίδων παῖδες, καὶ γένος ἐξοπίσω.
οὐδέποτε κλέος ἐσθλὸν ἀπόλλυται, οὐδ' ὄνομ' αὐτοῦ,
ἀλλ' ὑπὸ γῆς περ ἐὼν γίγνεται ἀθάνατος.
ὅν τιν' ἀριστεύοντα μένοντά τε μαρνάμενόν τε
γῆς πέρι καὶ παίδων θοῦρος ἄρης ὀλέσῃ.
εἰ δὲ φύγοι μὲν κῆρα τανηλεγέως θανάτοιο
νικήσας δ' αἰχμῆς ἀγλαὸν εὖχος ἕλοι
πάντες μιν τιμῶσιν ὁμῶς νέοι ἠδὲ παλαιοὶ
πολλὰ δὲ τερπνὰ παθὼν ἔρχεται εἰς ἀΐδην.
γηράσκων δ' ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν
βλάπτειν οὔτ' αἰδοῦς οὔτε δίκης ἐθέλει.
πάντες δ' ἐν θώκοισιν ὁμῶς νέοι οἵ τε κατ' αὐτὸν
εἴκουσ' ἐκ χώρης, οἵ τε παλαιότεροι.
ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι
πειράσθω θυμὸν μὴ μεθιεὶς πόλεμον.

Εὐριπίδου.

Σὺν τοῖσι δεινοῖς, αὔξεται κλέος βροτοῖς.

Τοῦ αὐτοῦ.

ἐμὲ δ' ἄρ' οὐ μοχθεῖν δίκαιον, τίς δ' ἀμόχθητος

εὐκλεής

εὐκλεὴς, τίς τῶν μεγίστων δειλὸς ὢν ὠρέξατο.

Τοῦ αὐτοῦ.

τόλμ' ἀεὶ, κἂν τι τραχὺ νέμωσι θεοί.

Τοῦ αὐτοῦ.

οὐ γὰρ κατ' εὐσέβειαν αἱ θνητῶν τύχαι,
τολμήμασι δὲ καὶ χερῶν ὑπερβολαῖς
ἁλίσκεταί τε πάντα καὶ θηρεύεται.

Τοῦ αὐτοῦ.

τά τοι μέγιστα πάντ' ἀπεργάζεται κροτεῖς
τόλμα ὥς τε νικᾶν. οὔτε γὰρ τυραννίδες
χωρὶς πόνου γένοιντ' ἂν, οὔτ' οἶκος μέγας.

Τοῦ αὐτοῦ.

νεανίας γὰρ ὅς τις ὢν ἄρη στυγεῖ,
κόμη μόνον καὶ σάρκες, ἔργα δ' οὐδαμοῦ.
ὁρᾷς τὸν εὐτράπεζον ὡς ἡδὺς υἱος,
ὅ τ' ὄλβος ἔξωθέν τίς ἐστι πραγμάτων,
ἀλλ' οὐκ ἔνεστι στέφανος, οὐδ' εὐανδρία,
εἰ μή τι καὶ τολμῶσι κινδύνου μέτα.
οἱ γὰρ πόνοι τίκτουσι τὴν εὐανδρίαν,
ἡ δ' εὐλάβεια σκότον ἔχει καθ' Ἑλλάδα
τὸ διαβιῶναι μόνον ἀεὶ θηρωμένη.

Ὁμήρου.

τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ
οὐδέ οἱ ἀτρέμας ὀρητύεται ἐνὶ φρεσὶ θυμὸς
ἐν δέ τέ οἱ κραδίη μεγάλα στέρνοισι πατάσσει,

κῆρας

κῆρας ὀϊομένῳ. πάταγος δέ γε κατ' ὀδόντων.
τοῦ δ' ἀγαθοῦ, οὔτ' ἂρ τρέπεται χρὼς, οὔτε τι ταρβεῖ.

Μενάνδρου.

οὐκ ἔστι τόλμης ἐφόδιον μεῖζον βίου.

Καλλίνου.

μέχρι τεῦ κατάκεισθε, κότ' ἄλκιμον ἕξετε θυμὸν
ὦ νέοι, οὐδ' αἰδεῖσθ' ἀμφιπερικτυόνας
ὧδε λίην μεθιέντες. ἐν εἰρήνῃ δὲ δοκεῖτε
ἧσθαι, αὐτὰρ πόλεμος γαῖαν ἅπασαν ἔχει,

καί τις ἀποθνήσκων, ὕστατ' ἀκοντισάτω.
τιμῆέν τε γάρ ἐστι καὶ ἀγλαὸν ἀνδρὶ μάχεσθαι
γῆς πέρι, καὶ παίδων κουριδίης τ' ἀλόχου
δυσμενέσι. θάνατος δὲ τοτ' ἔσσεται ὁππότε κεν δὴ
μοῖραι ἐπικλώσωσιν, ἀλλά τις ἰθὺς ἴτω.
ἔγχος ἀνασχόμενος, καὶ ὑπ' ἀσπίδος ἄλκιμον ἦτορ
ἔλσας τὸ πρῶτον μιγνυμένου πολέμου.
οὐ γάρ κως θάνατόν γε φυγεῖν εἱμαρμένον ἐστὶν,
ἄνδρ' οὐδ' εἰ προγόνων ᾖ γένος ἀθανάτων.
πολλάκι δηϊοτῆτα φυγὼν καὶ δοῦπον ἀκόντων
ἔρχεται, ἐν δ' οἴκῳ μοῖρα κίχεν θανάτου.
ἀλλ' ὁ μὲν οὐκ ἔμπης δήμῳ φίλος, οὐδὲ ποθεινὸς
τὸν δ' ὀλίγος στενάχει καὶ μέγας ἤν τι πάθῃ.
λαῷ γὰρ σύμπαντι πόθος κρατερόφρονος ἀνδρὸς
θνήσκοντος, ζώων δ' ἄξιος ἡμιθέων.

ὥσπερ

ὅσσοι γάρ μιν πύργον ἐν ὀφθαλμοῖσιν ὁρῶσιν.
ἔρδει γὰρ πολλῶν ἄξια μοῦνος ἐών.

Μοσχίωνος ἐκ Θεμιστοκλέους.

καὶ γὰρ ἐν νάπαις βραχεῖ πολὺς σιδήρῳ
κείρεται πεύκης κλάδος, καὶ βαιὸς ὄχλος
μυρίας λόγχης κρατεῖ.

Σωσιθέου.

εἷς μυρίους ὄρνιθας αἰετὸς σοβεῖ
λαῶν δὲ δειλῶν πλῆθος εἷς τραφεὶς ἀνήρ.

Σοφοκλέους.

φιλεῖ γὰρ ἄνδρας πόλεμος ἀγρεύειν νέους.

ΠΕΡΙ ΤΑΦΗΣ.

Μενάνδρου.

ΟΥ τῶ πότ᾽ ἐζήλωσα πολυτελῆ νεκρόν,
εἰς τὴν ἴσον δ᾽ ὄγκον τῷ σφόδρ᾽ ἔρχετ᾽ εὐτελεῖν.

Τοῦ αὐτοῦ.

ἐάσατ᾽ ἤδη γῇ καλυφθῆναι νεκρούς,
ὅθεν θ᾽ ἕκαστον εἰς τὸ σῶμ᾽ ἀφίκετο
ἐνταῦθ᾽ ἀπελθεῖν, πνεῦμα μὲν πρὸς αἰθέρα
τὸ σῶμα δ᾽ εἰς γῆν. οὔτι γὰρ κεκτήμεθα,
ἡμέτερον αὐτό, πλὴν ἐνοικῆσαι βίον,
κἄπειτα τὴν θρέψασαν αὐτὸ δεῖ λαβεῖν.

Εὐριπίδου.

ἀνθρώπων δὲ μαίνονται φρένες

δαπάνας ὅτε θανοῦσι πέμπωσι ἱεράς.

Ὁμήρου.

ὄφρά ἑ ταρχύσωσι κασίγνητοί τε ἔταί τε
τύμβῳ τε στήλῃ τε, τὸ γὰρ γέρας ἐστὶ θανόντων.
ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν ὅς κε θάνῃσι
νηλέα θυμὸν ἔχοντας, ἐπ' ἤματι δακρύσαντας.

Ἐκ τῆς νικόλεω ἐθῶν συναγωγῆς.

Κίοι τοὺς ἀποθανόντας κατακαύσαντες, καὶ ὀστολογήσαντες, ἐν ὅλμῳ τὰ ὀστᾶ καταπτύσσουσιν, εἶτα ἐνθέντες εἰς πλοῖον καὶ κόσκινον λαβόντες ἀναπλέουσιν εἰς πέλαγος, καὶ πρὸς τὸν ἄνεμον διασκεδάζουσιν ἄχρις ἂν πάντα ἐμφυσηθῇ, καὶ ἀφανῆ γένηται.

Ταῦροι σκυθικὸν ἔθνος τοῖς βασιλεῦσι τοὺς ἑωυσταὶ τοὺς τῶν φίλων συγκαταθάπτουσιν. ὁ δὲ βασιλεὺς ἀποθανόντος φίλου, ἢ μέρος, ἢ τὸ ὅλον ἀποτέμνει ὠτίον κατὰ τὴν ἀξίαν τοῦ τελευτήσαντος.

Σινδοὶ τοσούτους ἰχθῦς ἐπὶ τοὺς τάφους ἐπιβάλλουσιν, ὅσους πολεμίους ὁ θαπτόμενος ἀπεκτονὼς ἦν.

Κολχοὶ τοὺς τελευτήσαντας οὐ θάπτουσιν, ἀλλὰ κρεμῶσιν ἐπὶ δένδρων.

αἴνηβοι λίβυες ὅταν αὐτοῖς βασιλεὺς ἀποθάνῃ, τὸ μὲν σῶμα κατορύττουσι, τὴν δὲ κεφαλὴν ἀποκόψαντες καὶ χρυσώσαντες, ἀνατιθέασιν ἐν ἱερῷ.

ΠΕΡΙ ΥΓΕΙΑΣ.

Πυθαγόρου.

Οὐδ' ὑγείας τῆς περὶ σῶμ' ἀμέλειαν ἔχειν χρή, ἀλλὰ ποτοῦ τε μέτρον καὶ σίτου γυμνασίων τε ποιεῖσθαι. μέτρον δὲ λέγω τόδ' ὃ μή σ' ἀνιήσει. ἐθίζου δὲ δίαιταν ἔχειν καθάρειον ἄθρυπτον.

Ἀλκμαίων τῆς μὲν ὑγείας εἶναι συνεκτικὴν τὴν ἰσονομίαν τῶν δυνάμεων, ὑγροῦ, ξηροῦ, θερμοῦ, πικροῦ, γλυκέος, τῶν λοιπῶν, τὴν δ' ἐν αὐτοῖς μοναρχίαν, νόσου παρασκευαστικὴν εἶναι.

Πυθαγόρου.

σαρκὸς φωνή, μὴ πεινῆν, μὴ διψῆν, μὴ ῥιγοῦν.

Σωκράτης παρῄνει φυλάττεσθαι τῶν βρωμάτων, ὅσα μὴ πεινῶντας ἐσθίειν ἀναπείθει, καὶ τῶν πομάτων ὅσα πίνειν μὴ διψῶντας.

Γοργίας ἐρωτηθεὶς, τίσι διαίτῃ χρώμενος εἰς μακρὸν γῆρας ἦλθεν, οὐδὲν οὐδέποτε ἔφη πρὸς ἡδονὴν οὔτε φαγὼν οὔτε δράσας.

Ἱπποκράτους.

σιτία, ποτά, ὕπνοι, ἀφροδίσια, πάντα μέτρια.

Πλουτάρχου.

ὅθεν ἄριστα λέγεται, τὸ τροφῆς ἀκορίην, καὶ πόνων ἀοκνίην, καὶ σπέρματος οὐσίης τήρησιν ὑγιεινότατα εἶναι. καὶ γὰρ ἡ παρὰ τὰς συνουσίας ἀκρασία τὰ

μάλιστα τὴν δύναμιν ἐκλύειν ὑφ᾽ ἧς ἡ τροφὴ διαπο-
νεῖται, πλέον περιττώματα ποιεῖ, καὶ πλῆθος.

ΠΕΡΙ ΥΠΕΡΟΨΙΑΣ.

Σωσιφάνους.

Ὦ Δυστυχεῖς μὲν πολλὰ παῦρα δ᾽ ὄλβιοι,
βροτοί, τί σεμνύνεσθε ταῖς ἐξουσίαις.
ἃς ἕν τ᾽ ἔδωκε φέγγος ἕν τ᾽ ἀφείλετο,
ἂν δ᾽ εὐτυχεῖτε μηδὲν ὄντες εὐθέως
ἴσ᾽ οὐρανῷ φρονεῖτε, τὸν δὲ κύριον
ᾅδην παρεστῶτ᾽ οὐχ ὁρᾶτε πλησίον.

Εὐριπίδου.

ὅταν ἴδης πρὸς ὕψος ἠρμένον τινὰ
λαμπρῷ τε πλούτῳ καὶ γένει γαυρούμενον,
ὀφρῦν τε μείζω τῆς τύχης ἐπηρκότα,
τούτου ταχεῖαν νέμεσιν εὐθὺς προσδόκα.

Μενάνδρου.

οἱ τὰς ὀφρῦς αἴροντες ὡς ἀβέλτεροι
καὶ σκέψομαι λέγοντες. ἄνθρωπος γὰρ ὢν
τί σκέψῃ σὺ περὶ τοῦ δυστυχὴς ὅταν τύχῃ;
αὐτόματα γὰρ τὰ πράγματ᾽ ἐπεὶ τὸ συμφέρον ῥεῖ
κἂν καθευδήσῃ πάλιν τἀναντία.

Τοῦ αὐτοῦ.

ὦ τρισάθλιοι πάντες οἱ φυσῶντες ἐφ᾽ ἑαυτοῖς

μέγα

μέγα, αὐτοὶ γὰρ οὐκ ἴσασιν ἀνθρώπου φύσιν.

Τοῦ αὐτοῦ.

πᾶς ὁ μὴ φρονῶν, ἀλαζονείᾳ καὶ ψόφοις ἁλίσκεται.

Χαιρήμονος.

ὅλως τὸ κρεῖσσον οὐκ ἐᾷ φρονεῖν μέγα.

Εὐριπίδου.

ὁρᾶτε τὸν τύραννον ὡς ἅπας γέρων
φεύγει, φρονεῖν δὲ θνητὸν ὄντ' οὐ χρὴ μέγα.

ΠΕΡΙ ΦΡΟΝΗΣΕΩΣ.

Διφίλου.

ΩΣ μακάριον φρόνησις ἐν χρηστῷ τρόπῳ.

Εὐριπίδου.

ὀρθῶς μ' ἐπήρου, βούλομαι δέ σοι τέκνον,
φρονεῖς γὰρ ἤδη, κἀποσώσαις ἂν πατρός,
γνώμας φράσαντος ἂν θάνω παραινέσας,
κειμήλι ἐσθλὰ καὶ νέοισι χρήσιμα,
βραχεῖ δὲ μύθῳ, πολλὰ συλλαβὼν ἐρῶ.
πρῶτον μὲν φρένας ἠπίους ἔχειν χρεὼν
τῷ πλουσίῳ τε τῷ τε μὴ διδοὺς μέρος
ἴσον σεαυτὸν εὐσεβεῖν πᾶσι δίδου.
δυοῖν παρόντοιν πραγμάτοιν, πρὸς θάτερον
γνώμην προσάπτειν, τὴν ἐναντίαν μίσει.
ἀδίκως δὲ μὴ κτῶ χρήματα, ἢν βούλῃ πολὺν

χρόνον μελάθροις ἐμμένειν, τὰ δ᾽ ἀδίκως
οἴκους εἰσελθόντ᾽ οὐκ ἔχει σωτηρίαν.
ἔχειν δὲ πειρῶ, τοῦτο γὰρ τό τ᾽ εὐγενὲς,
ἐν τοῖς πενέσθαι δ᾽ ἔνεστιν ἥ τ᾽ ἀδοξία,
ἥ τ᾽ ἀνανδρία, ἥ τ᾽ ἀτιμία βίου.
φίλους δὲ τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις
κέκτησο, τοὺς δὲ πρὸς χάριν σὺν ἡδονῇ
τῇ σῇ πονηροὺς κλεῖθρον εἰργέτω στέγης.
ὁμιλίας τε τὰς γεραιτέρους θέλε.
βραχεῖα τέρψις ἡδονῆς τίκτει λύπην.
ἐξουσίαν δὲ μή ποτ᾽ εὐτυχῶν τέκνον
αἰσχροὺς ἔρωτας δημοτῶν διωκάθειν,
ὃ καὶ σίδηρον ἀγχόνας τ᾽ ἐφέλκεται,
χρηστῶν πενήτων ἄν τις αἰσχύνῃ τέκνα.
καὶ τοὺς πονηροὺς μή ποτ᾽ αὐξάνειν πόλει.
κακοὶ γὰρ ἐμπλησθέντες ἢ νομίσματος
ἢ πόλεως ἐμπεσόντες εἰς ἀρχήν τινα
σκιρτῶσιν ἀδίκως εὐτυχησάντων δόμων.
ἀλλ᾽ ὦ τέκνον μοι δὸς χέρ᾽ ὡς θίγῃ πατὴρ,
καὶ χαῖρ᾽. τὸ αἰδοῦς δ᾽ οὐ λίαν ἀσπάζομαι.
γυναικόφρων γὰρ θυμὸς, οὐκ ἀνδρὸς σοφοῦ.

Αἰσχύλου.

ὁ χρήσιμ᾽ εἰδὼς, οὐχ ὁ πολλ᾽ εἰδὼς σοφός.

Τοῦ αὐτοῦ.

ἢ χαίρειν ἐστ᾽ ἄνθρωπος ἂν ἄνθρωπος ᾖ.

Σοφο-

Σοφοκλέους.

ἐσθλοῦ γὰρ ἀνδρὸς τοὺς πονοῦντας ὠφελεῖν.

Μενάνδρου.

οὐχ αἱ τρίχες ποιοῦσιν αἱ λευκαὶ φρονεῖν
ἀλλ' ὁ τρόπος ἐνίων ἐστὶ τῇ φύσει γέρων.

Θεόγνιδος.

ἥβη καὶ νεότης ἐπικουφίζει νόον ἀνδρὸς
πολλῶν δ' ἐξαίρει θυμὸν ἐν ἀμπλακίην.

Εὐριπίδου.

νεανίας τε καὶ πένης σοφὸς θ' ἅμα
ταῦτ' εἰς ἓν ἐλθόντ' ἄξι' ἐνθυμήσεως.

Φωκυλίδου.

πάντες ἴσον νέκυες, ψυχῶν δὲ θεὸς βασιλεύει.
κοινὸς χῶρος ἅπασι πένησί τε καὶ βασιλεῦσι.
ὅπλον ἑκάστῳ νεῖμε θεὸς φύσιν ἠερόφοιτον.
λαγωοῖς πολλὴν ταχυτῆτ' ἀλκήν τε λέουσι,
ταύροις δ' αὐτοχύτοις κέρατα, κέντρα μελίσσαις
ἔμφυτον ἄλκαρ ἔδωκεν, λόγον δ' ὅς τις ἐστὶν ἄριστος
ἀνθρώπῳ νεῖμεν, βέλτερος δ' ἀλκήεντος ἔφυ
σεσοφισμένος ἀνήρ.

Μενάνδρου.

φόβος δὲ τὰ θεῖα τοῖσι σώφροσι βροτῶν.
μὴ πλοῦτον εἴπῃς οὐχὶ θαυμάζω θεὸν,
ὃν καὶ κάκιστος ῥᾳδίως ἐκτήσατο.
οὐκ ἔστ' ἀπ' ἔργων μὴ καλῶν ἔπη καλά.

αἲ αἲ, τὸ δ' ἤδη θεῖον ἀνθρώποις κακόν,
ὅταν τις ἴδῃ τἀγαθὸν, χρῆται δὲ μή.
ἐπεὶ τί δὴ βροτοῖσι πλὴν δυοῖν μόνοιν,
Δήμητρος ἀκτῆς, πώματός θ' ὑδρηχόου.
εἱμαρμένων δὲ τῶν κακῶν βουλευμάτων
κακὰς ἀμοιβὰς ὅστι καρτερεῦσθαι βροτοῖς.

Μενάνδρου.

ὅταν ἕτερός σοι μηδὲ ἓν πλέον διδῷ,
δέξαι. τὸ μόριον τοῦ λαβεῖν γὰρ μηδὲ ἕν,
τὸ λαβεῖν ἔλαττον πλεῖον ἔσται σοι πολύ.

Τοῦ αὐτοῦ.

ἰσχὺς, καὶ τεῖχος, καὶ ὅπλον, σοφοῦ ἡ φρόνησις.

Τοῦ αὐτοῦ.

οὗτος κράτιστός ἐστ' ἀνὴρ ὦ Γοργία,
ὅς τις ἀδικεῖσθαι πλεῖστ' ἐπίσταται βροτῶν.

Εὐριπίδου.

τρεῖς εἰσὶν ἀρεταὶ, ἃς χρή σ' ἀσκεῖν τέκνον.
θεούς τε τιμᾶν, τούς τε θρέψαντας γονεῖς,
νόμους τε κοινοὺς Ἑλλάδος, καὶ ταῦτα δρῶν
κάλλιστον ἕξεις στέφανον εὐκλείας ἀεί.

ΠΕΡΙ ΧΡΗΣΤΟΤΗΤΩΣ.

Μενάνδρου.

ΟΥθεὶς πονηρὸν πρᾶγμα χρηστὸς ὢν ποιεῖ.

Τοῦ αὐ-

Τοῦ αὐτοῦ.

ὡς ἡδὺ συνέσει χρηστότης κεκραμένη.

Θεόγνιδος.

κύρν' ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον αἰεί,
τολμᾷ τ' ἔν τ' ἀγαθοῖς κείμενος ἔν τε κακοῖς.
εἰ δὲ θεὸς κακῷ ἀνδρὶ βίον καὶ πλοῦτον ὀπάσσοι
ἀφραίνων βίοτον οὐ δύναται κατέχειν.

Σοφοκλέους.

οὐδεὶς τῶν ἀγαθῶν ζῶν κακῶς
εὔκλειαν αἰσχύναι θέλει.

Μενάνδρου.

σὺ μὲν παραινεῖς ταῦτα ὅσα σοι πρέπει,
ἐμὲ δὲ ποιεῖν τὸ καθῆκον οὐχ ὁ σὸς
λόγος ἓν ἴσθ' ἀκριβῶς, ὁ δ' ἴδιος πείθει τρόπος.

Τοῦ αὐτοῦ.

ὁ χρηστὸς ἐστὶ πολλαχοῦ σωτήριος.

Τοῦ αὐτοῦ.

τὸ χρηστὰ πράττειν ἔργον ἐστ' ἐλευθέρου.

Διφίλου.

μακάριον φρόνησις ἐν χρηστῷ τρόπῳ.

Μενάνδρου.

χρηστοὺς νομιζομένους ἐφόδιον ἀσφαλὲς
εἰς πάντα καιρὸν καὶ τύχης ῥοπὴν πᾶσαν.

Τοῦ αὐτοῦ.

ἀλλὰ τῶν χρηστῶν ἔχει τιν' ἐπιμέλειαν καὶ θεός.

Τοῦ αὐτοῦ.

κἀν ταῖς ἀπορίαις ἔσθ᾽ ὁ χρηστὸς χρήσιμος.

Ἀντιφάνους.

τρόπος δίκαιος κτῆμα τιμιώτατον.

Ποσιδίππου.

διὰ τὴν τέχνην μὲν γνωρίμους ἐκτησάμην
πολλούς, διὰ τὸν τρόπον δὲ τοὺς πλείστους φίλους.

Πειρίθου.

τρόπος ὁ ᾽στὶ χρηστὸς ἀσφαλέστερος νόμου.
τὸν μὲν γὰρ οὐδεὶς ἂν διαστρέψαι ποτὲ
ῥήτωρ δύναιτο, τὸν δ᾽ ἄνω τε καὶ κάτω
λόγοις ταράσσων πολλάκις λυμαίνεται.

Θεόγνιδος.

ἀνδράσι τοῖς ἀγαθοῖς ἕπεται γνώμη τε καὶ αἰδώς·
οἳ νῦν ἐν πολλοῖς ἀτρεκέως ὀλίγοι.

Μενάνδρου.

νὴ τὴν Ἀθηνᾶν μακάριον ἡ χρηστότης
πρὸς πάντα, καὶ θαυμαστὸν ἐφόδιον τῷ βίῳ.
τούτῳ λαλήσας ἡμέρας σμικρὸν μέρος
εὔνους ἐγὼ νῦν εἰμί. πιστικὸν λόγος.
πρὸς ταῦτ᾽ ἂν εἴποι τις μάλιστα τῶν σοφῶν,
τί οὖν ἑτέρους λαλοῦντας οὐ βδελύττομαι;
τρόπος ἔσθ᾽ ὁ πείθων τοῦ λέγοντος οὐ λόγος.

Τοῦ αὐτοῦ.

τὸ δ᾽ ἐπιεικὲς ὠφελεῖ τὰς συμφοράς.

Θεοφρά-

Θεοφράστου.

ὀλίγων οἱ ἀγαθοὶ νόμων δέονται, οὐ γὰρ τὰ πράγμα-
τα πρὸς τοὺς νόμους, ἀλλ᾽ οἱ νόμοι πρὸς τὰ πράγμα-
τα τίθενται.

Θεμιστοκλῆς χωρίον πωλῶν, ἐκέλευσε κηρύττειν ὅτι
καὶ γείτονα χρηστὸν ἔχει.

Σόλωνος.

τρόπου καλοκαγαθίαν, ὅρκου πιστοτέραν ἔχε.

Οἷσιν ὁ τρόπος εὔτακτος, τούτοισι καὶ βίος συν-
τέτακται.

Ἀριστοτέλης ὁ φιλόσοφος αἰτηθεὶς ποτὲ ἔρανον ὑπὸ
μοχθηροῦ, καὶ παραχόμενος, ἐπειδὴ ἐλοιδορεῖτό τις
αὐτῷ ὅτι τούτῳ ἔδωκεν, οὐ τῷ ἀνθρώπῳ ἔφη, ἀλλὰ
τῷ ἀνθρωπίνῳ.

Βίας ἔφη, οἱ ἀγαθοὶ εὐαπάτητοι.

Ὁ σκιπίων τὸ πολυβίου παράγγελμα ἐπειρᾶτο, μὴ
πρότερον ἐξ ἀγορᾶς ἀνελθεῖν, ἢ ποιήσασθαί τινα συ-
νήθη καὶ φίλον.

ΠΕΡΙ ΨΕΥΔΟΥΣ.

Σοφοκλέους.

ἈΛΛ᾽ οὐδὲν ἕρπει ψεῦδος εἰς γῆρας χρόνου.

Τοῦ αὐτοῦ.

καλὸν μὲν οὖν οὐκ ἔστι τὰ ψευδῆ λέγειν.
ὅτῳ δ᾽ ὄλεθρον δεινὸν ἡ ἀλήθει᾽ ἄγει

συγγνωστὸν οὐκ ἔστιν εἰπεῖν καὶ τὸ μὴ καλόν.

Μενάνδρου.

κρεῖττον ἐλέσθαι ψεῦδος, ἢ ἀληθὲς καλόν.

Πισάνδρου.

οὐ νέμεσις καὶ ψεῦδος ὑπὲρ ψυχῆς ἀγορεύειν.

Ὁμήρου.

ψεῦδος δ' οὐκ ἐρέει, μάλα γὰρ πεπνυμένος ἐστί.

Χαιρήμονος.

ψευδῆ δὲ τοῖς ἐσθλοῖσιν οὐ πρέπει λέγειν.

Εὐριπίδου.

δύστηνος ὅς τις καὶ τὰ καλὰ ψευδῆ λέγων
οὐ τοῖς δὲ χρῆται τοῖς κακοῖς ἀληθέσιν.

Τοῦ αὐτοῦ.

ἔγω γέ φημι καὶ νόμους γε μὴ σέβειν
ἐν τοῖσι δεινοῖς τῶν ἀναγκαίων πλέον
ληθομυθεύειν χρεὼν ὅπου λώϊον.

Θεόγνιδος.

ἀρχῇ μὲν ψεύδεσσι μικρὰ χάρις, εἰς δὲ τελευτὴν
αἰσχρὸν δὴ κέρδος καὶ κακὸν ἀμφότερον
γίνεται, οὐδέ τι καλὸν ὅτῳ ψεῦδος προσομαρτεῖ
ἀνδρὶ καὶ ἐξέλθῃ πρῶτον ἀπὸ στόματος.

Ψεύδεσθαι προχειρότατον τοῖς πολλάκις ἁμαρτάνουσι.


Θαλῆς ὁ μιλήσιος ἐρωτηθεὶς πόσον ἀπέχει τὸ ψεῦδος τοῦ ἀληθοῦς, ὅσον ἔφη ὀφθαλμοὶ τῶν ὤτων.

Ἀνὴρ

Ἀνὴρ εἰς λακεδαίμονα ἀφίκετο λίαν γέρων ἤδη ὢν, τὰ μὲν ἄλλα ἀλαζὼν, ᾐδεῖτο δὲ ἐπὶ τῷ γήρᾳ, καὶ τὴν τρίχα πολιὰν οὖσαν, ἐπειρᾶτο βαφῇ ἀφανίζειν. παρελθὼν οὖν εἶπεν ἐκεῖνα ὑπὲρ ὧν καὶ ἀφίκετο. ἀναστὰς οὖν ὁ ἀρχίδαμος τί ἂν ἔφη οὗτος ὑγιὲς εἴποι, ὃς οὐ μόνον ἐπὶ τῇ ψυχῇ τὸ ψεῦδος, ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ περιφορεῖ.

ΤΕΛΟΣ

Ἐτυπώθη ἐν Βασιλείᾳ παρ' Ἱερωνύμῳ
τῷ Φρωβενίῳ καὶ Νικολάῳ
τῷ Ἐπισκοπίῳ ἔτει
ἀ φ λ β


FRO BEN.

1.6.109 249

